sit circulus, per quem punctum Θ fertur, $K\Theta\Gamma$. itaque circulus $K\Theta\Gamma$ horizontem secat et ad axem sphaerae perpendicularis est (Autolyc. de sph. 1). circuli autem, qui ad axem perpendiculares sunt et horizontem secant, et ortus et occasus in iisdem horizontis punctis faciunt (ib. 7). itaque circulus $K\Theta\Gamma$ semper in puncto Γ oritur et in K occidit. et fertur stella Θ in ambitu circuli $K\Theta\Gamma$. ergo stella Θ semper in puncto Γ oritur et in K occidit.

IV.

Quaecumque stellae in ambitu circuli maximi sunt, qui maximum circulorum, qui semper conspicui sunt, neque secat neque contingit, earum, quae prius oriuntur, etiam prius occidunt, et quae prius occidunt, prius oriuntur.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$ καὶ μέγιστος τῶν ἀεὶ φανερῶν ὁ $A\Delta E$, ἕτερος δὲ μέγιστος κύκλος ἔστω ὁ ΓZB, μήτε τέμνων τὸν $A\Delta E$ κύκλον μήτε ἐφαπτόμενος αὐτοῦ, καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας τοῦ ΓZB κύκλου δύο τυχόντα σημεῖα τὰ Z, H· λέγω, ὅτι τῶν Z, H σημείων τὸ πρότερον ἀνατέλλον πρότερον δύνει καὶ τὸ πρότερον δῦνον πρότερον ἀνατέλλει.

ἔστω ἀνατολικὰ μὲν τὰ Γ μέρη, δυτικὰ δὲ τὰ B, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Z, H σημεῖα, οἱ ΘK, ΛM, καὶ διὰ τοῦ Z γεγράφθω μέγιστος κύκλος ὁ NZE ἐφαπτόμενος τοῦ $A\Delta E$ κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ E ἡμικύκλιον ὡς ἐπὶ τὰ E, Z, N μέρη τῷ ἀπὸ τοῦ A ἡμικυκλίῳ ὡς ἐπὶ τὰ A, Γ μέρη. ὁμοία ἄρα ἐστὶν ἡ KZ περιφέρεια τῇ MN περιφερείᾳ· λοιπὴ ἄρα ἡ $Z\Theta$ περιφέρεια καὶ ἡ συνεχὴς αὐτῇ ὑπὸ γῆν ἡ μέχρι τοῦ K σημείου ὁμοία ἐστὶ τῇ $N\Lambda$ περιφερείᾳ καὶ τῇ συνεχεῖ αὐτῇ ὑπὸ γῆν μέχρι τοῦ M σημείου. ἐν ἴσῳ ἄρα χρόνῳ τὰ Z, N σημεῖα τὰς $Z\Theta$, $N\Lambda$ καὶ τὰς συνεχεῖς αὐταῖς μέχρι τῶν K, M σημείων διαπορεύεται. τὰ Z, N ἄρα σημεῖα ἅμα ἀνατέλλει· τὸ δὲ H τοῦ N πρότερον ἀνατέλλει· καὶ τὸ H ἄρα τοῦ Z πρότερον ἀνατέλλει.

λέγω, ὅτι καὶ πρότερον δύνει.

γεγράφθω διὰ τοῦ Z σημείου μέγιστος κύκλος ὁ $\Xi Z\Delta$ ἐφαπτόμενος τοῦ $A\Delta E$ κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ Δ ἡμικύκλιον ὡς ἐπὶ τὰ Δ, Z, Ξ μέρη τῷ ἀπὸ τοῦ A ἡμικυκλίῳ ὡς ἐπὶ τὰ A, Θ μέρη· ὁμοία ἄρα ἐστὶν ἡ $Z\Theta$ περιφέρεια τῇ $\Xi\Delta$ περιφερείᾳ· ἐν ἴσῳ ἄρα

---

2. In $A\Delta E$ desinit v. 3. μήτε (pr.)] μή Vat. 6. Super δύνει et l. 7 super ἀνατέλλει add. καί m. 2 Vat. 13. E] om. Vat. Γ] K Vat. 17. αὐτῇ τῇ Vat. 21. καί — 22. ἀνατέλλει] supra m. 2 V. 26. Δ (prius)] corr. ex A m. 2 V. 28. $Z\Theta$] ante Z 1 litt. del., Θ add. m. 2 V. $\Xi\Delta$] A corr. ex Δ m. 1 V.

sit in mundo horizon $AB\Gamma$ et maximus circulorum, qui semper conspicui sunt, $A\Delta E$, alius autem circulus maximus sit ΓZB circulum $A\Delta E$ neque secans neque contingens, et sumantur in ambitu circuli ΓZB duo quaevis puncta Z, H; dico, punctorum Z, H utrum prius oriatur, id prius occidere, et utrum prius occidat, id prius oriri.

sint partes orientales Γ, occidentales autem B, et sint



circuli paralleli, per quos puncta Z, H feruntur, ΘK, ΛM, et per Z describatur maximus circulus NZE circulum $A\Delta E$ ita contingens, ut semicirculus ab E ad partes E, Z, N cum semicirculo ab A ad partes A, Γ non concurrat (Theodos. II, 15). itaque arcus KZ arcui MN similis est (ib. II, 13). reliquus igitur arcus $Z\Theta$ et continua eius pars, quae sub terra est, usque ad punctum K similis est arcui $N\Lambda$ et continuae eius parti, quae sub terra est, usque ad punctum M. aequali igitur tempore puncta Z, N arcus $Z\Theta$, $N\Lambda$ et continuas eorum partes usque ad puncta K, M percurrunt (Autolyc. de sph. 2). itaque puncta Z, N simul oriuntur. verum H prius oritur quam N. ergo H etiam prius oritur quam Z.

dico, idem prius occidere.

describatur per punctum Z maximus circulus $\Xi Z\Delta$ circulum $A\Delta E$ ita contingens, ut semicirculus ab Δ ad partes Δ, Z, Ξ cum semicirculo ab A ad partes A, Θ non concurrat (Theodos. II, 15). itaque arcus $Z\Theta$ arcui

---

Figuras propp. IV et V praebet Vat., figg. codd. a depravatae sunt.

χρόνῳ τὸ Z σημεῖον τὴν ZΘ περιφέρειαν διαπορεύεται καὶ τὸ Ξ σημεῖον τὴν ΞΛ περιφέρειαν. τοῦ Z ἄρα σημείου ἐπὶ τὸ Θ σημεῖον παραγενομένου καὶ τὸ Ξ ἐπὶ τὸ Λ παρέσται· τὰ Z, Ξ ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ H τοῦ Ξ πρότερον δύνει· τὸ H ἄρα καὶ τοῦ Z πρότερον δύνει.

ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ πρότερον δῦνον πρότερον ἀνατέλλει.

ε′.

Ὅσα τῶν ἄστρων ἐστὶν ἐπὶ μεγίστου κύκλου περιφερείας, ὃς τέμνει τὸν μέγιστον τῶν ἀεὶ φανερῶν, τούτων τὰ πρὸς ταῖς ἄρκτοις ὄντα πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ἔστω ἐν κύσμῳ ὁρίζων ὁ ABΓ καὶ μέγιστος τῶν ἀεὶ φανερῶν ὁ AΔE, ἕτερος δὲ μέγιστος κύκλος ἔστω ὁ ΓZB τέμνων τὸν AΔE κύκλον. καὶ εἰλήφθω ἐπὶ τῆς περιφερείας τοῦ ΓZB κύκλου δύο τυχόντα σημεῖα τὰ Z, H, καὶ ἔστω τὸ Z σημεῖον πρὸς ταῖς ἄρκτοις· λέγω, ὅτι τὸ Z σημεῖον τοῦ H πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ἔστω ἀνατολικὰ μὲν τὰ Γ μέρη, δυτικὰ δὲ τὰ B, καὶ ἔστωσαν κύκλοι παράλληλοι, καθ' ὧν φέρεται τὰ Z, H σημεῖα, οἱ ΘK, ΛM, καὶ γεγράφθω διὰ τοῦ Z σημείου μέγιστος κύκλος ὁ NZE ἐφαπτόμενος τοῦ AΔE κύκλου,

---

1. Z] corr. ex K m. 1 V. 2. Ξ] corr. ex M m. 1 V; item lin. 3. 4. Λ] corr. ex Z m. 1 V. 5. τό] τὸ δέ (comp.) V, sed δέ del. m. 2; καὶ τό Vat. καί] om. Vat. 9. ϛ′ ν′. 12. ταῖς] comp. Vl, τοῖς ν Vat. 23. οἱ] corr. ex ἡ m. 2 V, αἱ Ll.

$\Xi\Delta$ similis est. aequali igitur tempore punctum Z arcum $Z\Theta$ percurrit et punctum Ξ arcum $\Xi\Delta$. itaque cum punctum Z ad punctum Θ pervenit, etiam Ξ ad Δ perveniet. quare puncta $Z\Xi$ simul occidunt. verum H prius occidit quam Ξ. ergo H etiam prius occidit quam Z.

similiter demonstrabimus, punctum prius occidens etiam prius oriri.

V.

Quaecumque stellae in ambitu circuli maximi sunt, qui maximum circulorum, qui semper conspicui sunt, secat, earum, quae ad septentriones sunt, prius oriuntur, posterius autem occidunt.

sit in mundo horizon $AB\Gamma$ et maximus circulorum, qui semper conspicui sunt, $A\Delta E$, álius autem circulus maximus sit ΓBZ circulum $A\Delta E$ secans et sumantur in ambitu circuli ΓZB duo quaevis puncta Z, H, et sit punctum Z ad septentriones; dico, punctum Z prius oriri quam H, posterius autem occidere.



sint partes orientales Γ, occidentales autem B, et sint circuli paralleli, per quos puncta Z, H feruntur, ΘK, ΛM, et describatur per punctum Z maximus circulus NZE circulum $A\Delta E$ ita contingens, ut semicirculus ab

ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ *E* ἡμικύκλιον ὡς ἐπὶ τὰ *Z*, *N* τῷ ἀπὸ τοῦ *A* ἡμικυκλίῳ ὡς ἐπὶ τὰ *A*, *Γ*, *K* μέρη· ὁμοία ἄρα ἐστὶν ἡ *ZK* περιφέρεια τῇ *NM* περιφερείᾳ· λοιπὴ ἄρα ἡ *ΘZ* περιφέρεια καὶ ἡ συνεχὴς αὐτῇ ὑπὸ γῆν μέχρι τοῦ *K* σημείου ὁμοία ἔσται τῇ *ΛN* περιφερείᾳ καὶ τῇ συνεχεῖ αὐτῇ τῇ ὑπὸ γῆν μέχρι τοῦ *M* σημείου. ἐν ἴσῳ ἄρα χρόνῳ τὰ *Z*, *N* σημεῖα τὰς *ZΘ*, *NΛ* περιφερείας καὶ τὰς συνεχεῖς αὐταῖς τὰς μέχρι τῶν *K*, *M* σημείων διαπορεύεται· τὰ *Z*, *N* σημεῖα ἄρα ἅμα ἀνατέλλει· τὸ δὲ *N* τοῦ *H* πρότερον ἀνατέλλει· καὶ τὸ *Z* ἄρα τοῦ *H* πρότερον ἀνατέλλει.

λέγω, ὅτι καὶ ὕστερον δύνει.

γεγράφθω διὰ τοῦ *Z* σημείου μέγιστος κύκλος ὁ *ΞZΔ* ἐφαπτόμενος τοῦ *ΑΔE* κύκλου, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ *Δ* ἡμικύκλιον ὡς ἐπὶ τὰ *Δ*, *Ξ* μέρη τῷ ἀπὸ τοῦ *A* ἡμικυκλίῳ ὡς ἐπὶ τὰ *A*, *Θ* μέρη. ὁμοία ἄρα ἐστὶν ἡ *ZΘ* περιφέρεια τῇ *ΞΔ* περιφερείᾳ. ἐν ἴσῳ ἄρα χρόνῳ τὸ *Z* τὴν *ZΘ* περιφέρειαν διαπορεύεται καὶ τὸ *Ξ* τὴν *ΞΔ*· τοῦ *Z* ἄρα ἐπὶ τὸ *Θ* σημεῖον παραγενομένου καὶ τὸ *Ξ* ἐπὶ τὸ *Δ* παρέσται. τὰ *Z*, *Ξ* ἄρα σημεῖα ἅμα δύνει. τὸ δὲ *H* τοῦ *Ξ* πρότερον δύνει· καὶ τὸ *H* ἄρα τοῦ *Z* πρότερον δύνει· ὥστε τὸ *Z* τοῦ *H* ὕστερον δύνει· ἐδείχθη δὲ καὶ πρότερον ἀνατέλλον· τὸ *Z* ἄρα τοῦ *H* πρότερον μὲν ἀνατέλλει, ὕστερον δὲ δύνει.

ϛ′.

Τὰ ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου ἄστρα τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει· ὁμοίως δὲ καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ *ABΓ*, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν *AHBΔ*, ἰσημερινὸς δὲ ἔστω ὁ

2. *N*] corr. ex *K* m. 2 V. Post *N* add. μέρη m. 1 Vat. *A* (alt.)] om. Vat. 3. ὁμοία — 9. διαπορεύεται] mg. m. 2 V (κείμενον). 3. *NM*] *MN* Vat. 9. Post σημεῖα ras. 3 litt. V.

E velut ad partes *Z*, *N* cum semicirculo ab *Δ* velut ad partes *Γ*, *K* non concurrat (Theodos. II, 15). itaque arcus *ZK* arcui *NM* similis est (ib. II, 13). reliquus igitur arcus *ΘZ* et continua eius pars, quae sub terra est, usque ad punctum *K* similis erit arcui *ΔN* et continuae eius parti, quae sub terra est, usque ad punctum *M*. aequali igitur tempore puncta *Z*, *N* arcus *ZΘ*, *NΔ* et continuas eorum partes usque ad puncta *K*, *M* percurrunt (Autolyc. de sph. 2). itaque puncta *Z*, *N* simul oriuntur. verum *N* prius oritur quam *H*. ergo etiam *Z* prius oritur quam *H*.

dico, idem posterius occidere.

describatur per punctum *Z* maximus circulus *ΞZΔ* circulum *AΔE* ita contingens, ut semicirculus ab *Δ* velut ad partes *Δ*, *Ξ* cum semicirculo ab *A* ad partes *A*, *Θ* non concurrat (Theodos. II, 15). itaque arcus *ZΘ* arcui *ΞA* similis est (ib. II, 13). aequali igitur tempore *Z* arcum *ZΘ* percurrit et *Ξ* arcum *ΞA* (Autolyc. de sph. 2). itaque cum *Z* ad punctum *Θ* pervenit, etiam *Ξ* ad *Δ* perveniet. quare puncta *Z*, *Ξ* simul occidunt. verum *H* prius occidit quam *Ξ*. ergo *Z* posterius occidit quam *H*. sed demonstratum est, idem prius oriri. ergo *Z* prius oritur quam *H*, posterius autem occidit.

VI.

Eae stellae, quae in circulo zodiaco iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt; similiter etiam eae, quae in aequinoctiali sunt.

sit in mundo horizon *ABΓ*, zodiacus autem circulus positionem habeat *AHBΔ*, aequinoctialis autem sit *EZΔ*,

---

15. *Δ*] (alt.)] Z Vat. 16. *A*, *Θ*] *Θ*, *A* in ras. m. 2 Vat. *ὁμοία* — 20. *παρέσται* mg. m. 2 V. *ἄρα*] *ἔτι* Ll. 20. Post *τά* add. *δέ* (comp.) m. 2 V. 24. *μέν*] om. Vat. 25. *ϛ΄*] *ζ΄* v΄. 30. *ABΔ* Vat. Post *ἔστω* add. *αὐτῶν* Vat.

EZΔ· καὶ ἔστω τὰ ὑπὲρ γῆν τμήματα τὰ AHB, EHZ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ μὲν A σημεῖον τῷ B, τὸ δὲ E τῷ Z· λέγω, ὅτι τά τε A, B σημεῖα καὶ τὰ E, Z σημεῖα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.

ἔστω ἀνατολικὰ μὲν τὰ A, Γ μέρη, δυτικὰ δὲ τὰ B, E, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ A, B σημεῖα οἱ AΘ, BΓ, καὶ ἔστω τὸ μὲν AΘ τμῆμα τὸ ὑπὲρ γῆν, τὸ δὲ BΓ τὸ ὑπὸ γῆν. ἐπεὶ κατὰ διάμετρόν ἐστι τὸ μὲν A σημεῖον τῷ B, τὸ δὲ E τῷ Z, ἴση ἄρα ἡ EB περιφέρεια τῇ AZ περιφερείᾳ· ἀλλ' ἡ EB τῇ ZΓ ἴση ἐστίν· καὶ ἡ AZ ἄρα τῇ ZΓ ἴση ἐστιν. καί ἐστι μέγιστος τῶν παραλλήλων ὁ EZΔ· ἴσος ἄρα ἐστὶν ὁ AΘ κύκλος τῷ BΓ κύκλῳ. καί ἐστιν αὐτῶν τὰ ἐναλλὰξ τμήματα τὰ AΘ, BΓ· ἴση ἄρα ἐστὶν ἡ AΘ περιφέρεια τῇ BΓ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ A σημεῖον τὴν AΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παρέσται καὶ τὸ B τὴν BΓ διελθὸν ἐπὶ τὸ Γ παρέσται. ἀλλὰ τὸ μὲν A τὴν AΘ διελθὸν καὶ ἐπὶ τὸ Θ παραγενόμενον δύνει, τὸ δὲ B τὴν BΓ διελθὸν καὶ ἐπὶ τὸ Γ παραγενόμενον ἀνατέλλει· τοῦ A ἄρα δύνοντος τὸ B ἀνατέλλει. ὁμοίως δὲ δείξομεν, ὅτι καὶ τοῦ A ἀνατέλλοντος τὸ B δύνει.

πάλιν, ἐπεὶ ἡμικύκλιόν ἐστιν ἑκάτερον τῶν EHZ, ZΔE, ἴση ἐστὶν ἡ ZΔE περιφέρεια τῇ EHZ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Z σημεῖον τὴν ZE περιφέρειαν διελθὸν ἐπὶ τὸ E παρέσται καὶ τὸ E τὴν EΔZ περιφέ-

---

1. EZΔ] EZ Vat. Post *τά* (pr.) ins. *μέν* Vat. 2. *ἄρα*] om. Vat, supra add. m. 2. 3. *σημεῖα*] punctis del. Vat. 5. *Γ*] om. Vat. *E*] om. Vat. 7. *οἱ*] corr. ex ὁ V. 8. *γῆν* (pr.)] *γῆς* Vat. *ἐπεί*] supra add. *καί* m. 2 Vat. 9. *ἄρα*] om. Vat. *ἡ*] *ἐστίν ἡ* Vat. 11. *καί ἐστι*] mg. m. 2 V. 12. EZΔ] EΔZ Vat. 14. *AΘ* (pr.)] *AZ* V. 15. *τῇ BΓ περιφερείᾳ*] mg. m. 2 Vat. 21. *δέ*] *δή* Vat. 22. *EHZ*] corr. ex EZH V. 24. ZE] ZHE Vat.

Verba figurae cod. V et adscripta et inscripta om. Vat., item in propp. seqq.

et sint eorum segmenta super terram AHB, EHZ. itaque puncta A, B et E, Z iuxta diametrum opposita sunt; dico, puncta et A, B et E, Z coniugate et oriri et occidere.

sint partes orientales A, Γ, occidentales autem B, E, et sint circuli paralleli, per quos puncta A, B feruntur, $A\Theta$, $B\Gamma$, et sit $A\Theta$ segmentum super terram, $B\Gamma$ autem segmentum sub terra. quoniam puncta A, B et E, Z iuxta diametrum opposita sunt, arcus EB arcui AZ aequalis est; verum EB ipsi $Z\Gamma$ aequalis est; quare etiam AZ ipsi $Z\Gamma$ aequalis est. et $EZ\Delta$ maximus circulorum parallelorum est. itaque circulus $A\Theta$ circulo $B\Gamma$ aequalis est (Theodos. II, 17). et $A\Theta$, $B\Gamma$ alterna eorum segmenta sunt. itaque arcus $A\Theta$ arcui $B\Gamma$ aequalis est (ib. II, 19). aequali igitur tempore punctum A, postquam arcum $A\Theta$ percurrit, ad Θ perveniet et B, postquam arcum $B\Gamma$ percurrit, ad Γ perveniet (Autolyc. de sph. 2). verum A, postquam arcum $A\Theta$ percurrit et ad Θ pervenit, occidit, B autem, postquam arcum $B\Gamma$ percurrit et ad Γ pervenit, oritur. ergo puncto A occidente B oritur. similiter demonstrabimus, etiam A oriente B occidere.



rursus, quoniam uterque arcus EHZ, $Z\Delta E$ semicirculus est (Theodos. I, 11), arcus $Z\Delta E$ arcui EHZ aequalis est. aequali igitur tempore punctum Z, postquam arcum ZE percurrit, ad E perveniet et E, postquam arcum

ρειαν διελθὸν ἐπὶ τὸ Ζ παρέσται. ἀλλὰ τὸ μὲν Ζ τὴν ΖΕ διελθὸν καὶ ἐπὶ τὸ Ε παραγενόμενον δύνει, τὸ δὲ Ε τὴν ΕΔΖ διελθὸν καὶ ἐπὶ τὸ Ζ παραγενόμενον ἀνατέλλει· τοῦ Ζ ἄρα δύνοντος τὸ Ε ἀνατέλλει. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τοῦ Ζ ἀνατέλλοντος τὸ Ε δύνει. ὁμοίως δὲ καὶ πάντα τὰ ἐπὶ τοῦ ζῳδιακοῦ κύκλου ἄστρα, καὶ τὰ ἐπὶ τοῦ ἰσημερινοῦ τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει.

ζ.

Ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν κύκλων ἀνατέλλει τε καὶ δύνει, ὅταν ὁ μέγιστος τῶν ἀεὶ φανερῶν μὴ μείζων ἢ τοῦ τροπικοῦ κύκλου, καὶ τροπᾶς ποιεῖται ἐναντίως μεθιστάμενος. ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. καὶ ἄλλοτε ἄλλως ὕπερ ἡμᾶς ἵσταται.

ἔστω ἐν κύσμῳ ὁρίζων ὁ ΑΒΓ καὶ θερινὸς μὲν τροπικὸς ὁ ΑΔ, χειμερινὸς δὲ ὁ ΒΓ, ὁ δὲ ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΔΕΒ, καὶ ἔστω τὸ μὲν ΔΕΒ τμῆμα ὑπὸ γῆν, τὸ δὲ ΔΖΒ ὑπὲρ γῆν· λέγω, ὅτι ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν ἀνατέλλει τε καὶ δύνει καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος. ὅταν μὲν γὰρ ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται· ὅταν δὲ ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. καὶ ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

---

2. ΖΕ] ΖΗ V, ΖΗΕ Vat. 4. *δύναντος* a. Ε] ΕΔ V, sed Δ del. m. 1. 6. *δέ*] *δή* Vat. 8. *τέ*] om. V. Seq. in Vat. demonstr. altera, v. app. 9. ζ΄] *η΄* v. 10. *τόν*] om. Vat.

$E\Delta Z$ percurrit, ad Z perveniet. verum Z, postquam arcum ZE percurrit et ad E pervenit, occidit, E autem, postquam arcum $E\Delta Z$ percurrit et ad Z pervenit, oritur. ergo puncto Z occidente E oritur. iam similiter demonstrabimus, etiam puncto Z oriente E occidere. similiter autem et omnes stellae, quae in circulo zodiaco et eae, quae in aequinoctiali iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt.

VII.

Circulus zodiacus toto loco horizontis, qui inter circulos tropicos est, et oritur et occidit, si maximus circulorum, qui semper conspicui sunt, non maior est, quam circulus tropicus, et conversiones facit in contrarias partes se movens. nam si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet; sin autem ortibus ad septentriones se movet, occasibus ad meridiem se vertens adparet. et alio tempore aliter super nos stat.

sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem $B\Gamma$, zodiacus autem circulus positionem habeat ΔEB, et segmentum ΔEB sub terra sit, ΔZB autem super terram; dico, circulum zodiacum toto loco horizontis, qui inter tropicos sit, et oriri et occidere et conversiones facere in contrarias partes se moventem. nam si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet, sin autem ortibus ad septentriones se movet, occasibus ad meridiem se movens adparet. et alio tempore aliter super nos stat.

---

12. ὅταν — 13. κύκλου] mg. m. 2 Vat. 18. ἄλλοτε] -ο- in ras. V. 19. Post τροπικός add. ἔστω Vat. 20. Post δέ (pr.) add. τροπικός Vat. 23. τόν] om. Vat., item p. 36 lin. 2. 24. τε] om. Vat.

ἔστω ἀνατολικὰ μὲν τὰ Δ, Γ μέρη, δυτικὰ δὲ τὰ Α, Β. ὅτι μὲν οὖν ὁ τῶν ζῳδίων κύκλος κατὰ πάντα τὸν τόπον τοῦ ὁρίζοντος τὸν μεταξὺ τῶν τροπικῶν ἀνατέλλει τε καὶ δύνει, φανερόν, ἐπειδήπερ μειζόνων κύκλων ἐφάπτεται ἢ ὧν ὁ ὁρίζων ἐφάπτεται.

λέγω, ὅτι καὶ τροπὰς ποιεῖται ἐναντίως μεθιστάμενος. εἰλήφθωσαν γὰρ ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ ΔΕ, ΖΒ, καὶ γεγράφθωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ε, Ζ σημεῖα, οἱ ΗΕΘ, ΚΖΛ. ἐπεὶ ἴση ἐστὶν ἡ ΔΕ περιφέρεια τῇ ΖΒ περιφερείᾳ, κοινὴ προσκείσθω ἡ ΕΒ· ὅλη ἄρα ἡ ΔΕΒ ὅλῃ τῇ ΕΒΖ ἐστιν ἴση· ἡμικύκλιον δέ ἐστι τὸ ΔΕΒ· ἡμικύκλιον ἄρα καὶ τὸ ΕΒΖ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Ε σημεῖον τῷ Σ σημείῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΕΔ περιφέρεια τῇ ΔΜ περιφερείᾳ, ἡ δὲ ΖΒ τῇ ΒΝ, ἀλλ' ἡ ΔΕ τῇ ΖΒ ἐστιν

---

4. ἐπειδήπερ — 5. ἐφάπτεται] fortasse interpolata. 4. μειζόνων] in ras. V. κύκλων] supra comp. add. m. 1 V. κύκλων ἐφάπτεται] ἐφάπτεται κύκλων Vat. 5. ἢ ὧν] in ras. V. ὁ] om. a. ὁρίζων ἐφάπτεται] supra m. 2 V. 6. λέγω] λέγω δέ Vat. 7. ἀπειλήφθωσαν Vat. γάρ] om. Vat. 9. ἐπεί add. καί m. 2 Vat. 10. τῇ ΖΒ περιφερείᾳ] supra m. 2 Vat. 12. ἡμικύκλιον δέ ἐστι τὸ ΔΕΒ] supra m. 2 Vat. Post ἄρα add ἐστί Vat. 15. ἀλλά Vat.

In figg. codd. a ΔΔ et Β Γ semicirculi sunt; litteras Μ, Ξ, Π add. m. 2 V.

sint partes orientales Δ, Γ, occidentales autem A, B. zodiacum igitur circulum toto loco horizontis, qui inter tropicos sit, et oriri et occidere, manifestum est, quoniam maiores circulos tangit quam quos horizon tangit (Autolyc. de sph. 11).

dico, eundem conversiones facere in contrarias partes se moventem.



sumantur enim aequales et oppositi arcus ΔE, ZB, et describantur circuli paralleli, per quos puncta E, Z, feruntur, $HE\Theta$, $KZ\Lambda$. quoniam arcus ΔE arcui ZB aequalis est, communis adiciatur arcus EB. totus igitur arcus ΔEB toti arcui EBZ aequalis est. sed ΔEB semicirculus est; quare etiam EBZ semicirculus est; itaque puncta E, Z iuxta diametrum opposita sunt. et quoniam arcus $E\Delta$ arcui ΔM aequalis est et arcus ZB arcui BN (Theodos. II, 13), arcus ΔE autem

ἴση, καὶ ἡ ΔΜ ἄρα τῇ ΒΝ ἐστιν ἴση· κοινὴ προσκείσθω ἡ ΜΒ· ὅλη ἄρα ἡ ΔΜΒ ὅλῃ τῇ ΜΒΝ ἐστιν ἴση. ἡμικύκλιον δέ ἐστι τὸ ΔΜΒ· ἡμικύκλιον ἄρα ἐστὶ καὶ τὸ ΜΒΝ· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Μ σημεῖον τῷ Ν σημείῳ. καὶ ἐπεὶ τοῦ τῶν ζῳδίων κύκλου τὰ κατὰ διάμετρον ὄντα σημεῖα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Δ ἄρα σημείου ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β δύνει κατὰ τὸ Β σημεῖον καὶ τοῦ Ε ἀνατέλλοντος κατὰ τὸ Θ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ δύνει κατὰ τὸ Κ σημεῖον καὶ τοῦ Ν σημείου ἀνατέλλοντος κατὰ τὸ Λ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ δύνει κατὰ τὸ Η σημεῖον, καὶ ἔτι τοῦ Β σημείου ἀνατέλλοντος κατὰ τὸ Γ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ δύνει κατὰ τὸ Α σημεῖον. ὅταν ἄρα ὁ τῶν ζῳδίων κύκλος ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται.

λέγω, ὅτι καί, ὅταν ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται.

ἀνατείλαντος γὰρ τοῦ ΔΕΒ ἡμικυκλίου ὁ τῶν ζῳδίων κύκλος θέσιν ἕξει τὴν ΑΞΓ. καὶ ὁμοίως δείξομεν, ὅτι κατὰ διαμέτρόν ἐστι τὸ μὲν Ξ σημεῖον τῷ Ο σημείῳ, τὸ δὲ Ρ τῷ Π. καὶ ἐπεὶ τοῦ Γ σημείου ἀνατέλλοντος κατὰ τὸ Γ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Α δύνει κατὰ τὸ Α σημεῖον, τοῦ δὲ Ο σημείου ἀνατέλλοντος κατὰ τὸ Λ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ξ δύνει κατὰ τὸ Η σημεῖον, τοῦ δὲ Π σημείου ἀνατέλλοντος κατὰ τὸ Θ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ρ δύνει κατὰ τὸ Κ σημεῖον καὶ ἔτι τοῦ Α σημείου ἀνατέλλοντος κατὰ τὸ Δ σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Γ δύνει κατὰ τὸ Β σημεῖον, ὅταν ἄρα ὁ τῶν

2. ἴση] supra m. 2 Vat. 5. κύκλου] corr. ex κύκλων m. 2

arcui ZB aequalis est, etiam arcus ΔM arcui BN aequalis est. communis adiciatur arcus MB; totus igitur arcus ΔMB toti arcui MBN aequalis est. sed ΔMB semicirculus est; quare etiam MBN semicirculus est; itaque puncta M, N iuxta diametrum opposita sunt. et quoniam ea circuli zodiaci puncta, quae iuxta diametrum opposita sunt, coniugate et oriuntur et occidunt (prop. VI), puncto Δ oriente in Δ punctum B iuxta diametrum ei oppositum in puncto B occidit et puncto E oriente in Θ punctum Z iuxta diametrum ei oppositum in puncto K occidit et puncto N oriente in puncto Λ punctum M iuxta diametrum ei oppositum in puncto H occidit et praeterea puncto B oriente in puncto Γ punctum Δ iuxta diametrum ei oppositum in puncto A occidit. ergo circulus zodiacus, si ortibus ad meridiem se movet, occasibus ad septentriones se movens adparet.

dico, eundem, si ortibus ad septentriones se moveat, occasibus ad meridiem se moventem adparere.

nam postquam semicirculus ΔEB ortus est, circulus zodiacus positionem habebit $A\Xi\Gamma$. et similiter demonstrabimus, punctum Ξ puncto O iuxta diametrum oppositum esse, P autem puncto Π. et quoniam puncto Γ in puncto Γ oriente punctum A iuxta diametrum ei oppositum in puncto A occidit, puncto O autem in puncto Λ oriente punctum Ξ iuxta diametrum ei oppositum in puncto H occidit, puncto Π autem in puncto Θ oriente punctum P iuxta diametrum ei oppositum in puncto K occidit et praeterea puncto A in puncto Δ oriente punctum Γ iuxta diametrum ei oppositum in puncto B occidit, circulus zodiacus, si ortibus ad sep-

---

Vat. 21. *ἀνατείλαντος*] corr. ex *ἀνατέλλοντος* m. 2 V. 23. *O*] e corr. V. 30. *ἔτι*] e corr. V. *A*] corr. ex *M* V. 32. *Γ*] in ras. V.

ζῳδίων κύκλος ταῖς ἀνατολαῖς πρὸς ἄρκτους μεθίστηται, ταῖς δύσεσι πρὸς μεσημβρίαν μεθιστάμενος φαίνεται. ἐδείχθη δέ, ὅτι καὶ ὅταν ταῖς ἀνατολαῖς πρὸς μεσημβρίαν μεθίστηται, ταῖς δύσεσι πρὸς ἄρκτους μεθιστάμενος φαίνεται.

καὶ φανερόν, ὅτι ἄλλοτε ἄλλως ὑπὲρ ἡμᾶς ἵσταται.

ὅταν μὲν γὰρ ἡ συναφὴ τοῦ ζῳδιακοῦ κύκλου καὶ τοῦ θερινοῦ τροπικοῦ ἐπὶ τῆς διχοτομίας ᾖ τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ κύκλου, ὀρθότατος ἔσται πρὸς ἡμᾶς· ὅταν δὲ ἐπὶ τῆς διχοτομίας τοῦ ὑπὸ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ, ταπεινότατος ἔσται πρὸς ἡμᾶς· καὶ ἀεὶ μὲν πορρώτερον γιγνόμενος τῆς διχοτομίας τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ, μᾶλλον ἔσται κεκλιμένος· ὁμοίως δὲ ἔσται κεκλιμένος, ἴσον ἀπέχων ὁποτερασοῦν τῶν διχοτομιῶν.

η'.

Τὰ ζῴδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύνει· καὶ ἐν μεγίστοις μὲν τὰ πρὸς τῷ ἰσημερινῷ, ἐν ἐλάσσοσι δὲ τὰ ἑξῆς τούτων· ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς, ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

ἔστω ἐν κόσμῳ ὁρίζων κύκλος ὁ $AB\Gamma\Delta$, τροπικοὶ δὲ οἱ $A\Gamma$, $B\Delta$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $B\Gamma$, ἰσημερινὸς δὲ κύκλος ὁ EZ, καὶ διῃρήσθω ἑκατέρα τῶν ΓH, HB εἰς τρία ἴσα κατὰ τὰ N, K, Π, T σημεῖα· λέγω, ὅτι αἱ ΓN, NK, KH, $H\Pi$, ΠT, TB περιφέρειαι ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσι, καὶ ἐν μεγίστοις μὲν αἱ KH, $H\Pi$, ἐν ἐλάσσοσι δὲ αἱ KN, ΠT, ἐν ἐλαχίστοις δὲ αἱ

---

7. καὶ τοῦ θερινοῦ τροπικοῦ] om. Vat. 8. ᾖ] post κύκλου (lin. 7) scr. Vat. 9. κύκλου] om. Vat. ὀρθότατος] ὀρθό- in ras. V. 13. γῆν] γῆς Vat. 16. η'] Θ' ν', 17. ἐν] supra scr.

tentriones se movet, occasibus ad meridiem se movens adparet. demonstratum autem est, eundem, si ortibus ad meridiem se moveat, occasibus ad septentriones se moventem adparere.

et manifestum est, eum alio tempore aliter super nos stare.

nam si contactus circuli zodiaci et circuli aestivi in puncto medio est segmenti circuli aestivi, quod super terram est, ad nos rectissimus erit; sin autem in puncto medio est segmenti circuli aestivi, quod sub terra est, ad nos humillimus erit; et remotior semper factus a puncto medio segmenti circuli aestivi, quod super terram est, magis erit inclinatus; similiter autem erit inclinatus, si ab utrovis puncto medio aequali intervallo distat (Theodos. II, 22).

VIII.

Signa inaequalibus segmentis horizontis et oriuntur et occidunt, ac maximis quidem ea, quae ad aequinoctialem sunt, minoribus autem ea, quae haec deinceps sequuntur, minimis autem ea, quae ad tropicos sunt, aequalibus autem ea, quae ab aequinoctiali aequali intervallo distant.

sit in mundo circulus horizon $AB\Gamma\Delta$, tropici $A\Gamma$, $B\Delta$, zodiacus autem circulus positionem habeat $B\Gamma$, aequinoctialis autem circulus EZ, et uterque arcus ΓH, HB in tres partes aequales dividatur in punctis N, K, Π, T; dico, arcus ΓN, NK, KH, $H\Pi$, ΠT, TB inaequalibus segmentis horizontis et oriri et occidere, ac maximis quidem KH, $H\Pi$, minoribus autem KN, ΠT,

m. 1 V. *ἀνίσοις*] α in ras. V. 22. *ἐν κόσμῳ*] om. Vat. 24. $B\Gamma$] ΓB Vat. $B\Gamma$] mg. *μέγιστος δὲ τῶν ἀεὶ φανερῶν ὁ* ΦX m. 2 V (*κείμενον*), in textu post $B\Gamma$ ν', post $B\Delta$ Vat. 26. *ὅτι καί* Vat.

ΓΝ, ΒΤ, ἐν ἴσοις δὲ ἡ μὲν ΚΗ τῇ ΗΠ, ἡ δὲ ΚΝ τῇ ΠΤ, ἡ δὲ ΝΓ τῇ ΤΒ.

ἕστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ν, Κ, Π, Τ σημεῖα, οἱ ΜΞ, ΘΛ, ΟΡ, ΣΥ. καὶ ἐπεὶ περι-
5 φέρειαι αἱ ΗΚ, ΚΝ, ΝΓ ἴσαι ἀλλήλαις εἰσίν, αἱ ΖΛ, ΛΞ, ΞΓ ἄρα μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΖΛ. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ μὲν ΕΘ, ΘΜ, ΜΑ μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΕΘ· καὶ ἔτι αἱ μὲν ΖΡ, ΡΥ, ΥΔ μείζους εἰσὶν ἀλλήλων
10 ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΖΡ, καὶ ἔτι αἱ ΕΟ, ΟΣ, ΣΒ μείζους εἰσὶν ἀλλήλων ἀρχόμεναι ἀπὸ μεγίστης τῆς ΕΟ. καὶ ἐπεὶ αἱ ΓΝ, ΝΚ, ΚΗ, ΗΠ, ΠΤ, ΤΒ ἀνατέλλουσι μὲν κατὰ τὰς ΓΞ, ΞΛ, ΛΖ, ΖΡ, ΡΥ, ΥΔ περιφερείας, δύνουσι δὲ κατὰ τὰς ΑΜ, ΜΘ, ΘΕ, ΕΟ,
15 ΟΣ, ΣΒ, [ὥστε] ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλουσί τε καὶ δύνουσιν. καὶ ἐπεὶ ἐν σφαίρᾳ παράλληλοι κύκλοι οἱ ΘΛ, ΟΡ μεγίστου τινὸς κύκλου περιφερείας τοῦ ΓΒ τὰς ΠΗ, ΗΚ ἴσας ἀφαιροῦσι πρὸς τὸν μέγιστον τῶν παραλλήλων τὸν ΕΖ, ἴσος ἄρα ἐστὶν ὁ
20 ΘΛ κύκλος τῷ ΟΡ κύκλῳ. ἐπεὶ οὖν ἐν σφαίρᾳ ἴσοι τε καὶ παράλληλοι κύκλοι οἱ ΘΛ, ΟΡ μεγίστου τινὸς κύκλου περιφερείας τοῦ ΑΒΓΔ τὰς ΔΖ, ΖΡ ἀφαιροῦσι πρὸς τὸν μέγιστον τῶν παραλλήλων τὸν ΕΖ, ἴση ἄρα ἐστὶν ἡ ΛΖ περιφέρεια τῇ ΖΡ περιφερείᾳ. ὁμοίως δὴ
25 δείξομεν, ὅτι καὶ ἡ ΞΖ περιφέρεια ἴση ἐστὶ τῇ ΖΥ περι-

---

3. παράλληλοι κύκλοι] post σημεῖα (lin. 4) scr. Vat. 4. καὶ ἐπεὶ περιφέρειαι] ἐπεὶ οὖν Vat. (οὖν supra m. 2). 5. εἰσί V, ut lin. 6, 8. 6. μείζονες Vat., ut lin. 8, 9, 11. 10. ἔτι] corr. ex ἄρα (comp.) m. 2 V. 15. ὥστε] deleo. 23. τόν (alt.)] corr. ex τῶν m. 2 V. ἄρα] om. Vat. 24. περιφέρεια] om. Vat. δή] corr. ex δέ V et m. 2 Vat. 25. Post καί ras. 1 litt. V. Post περιφερείᾳ add. ὧν ἡ ΛΖ τῇ ΖΡ ἐστιν ἴση Vat.

Figuram bis praebet V (in altera 'ὁρίζων' om.). in fig. V at add. arcticum; v. adp. crit. verba figurae inscripta hab. V; item in propp. seqq.

minimis autem *ΓN*, *BT*, aequalibus autem *KH* et *HΠ*, *KN* et *ΠT*, *NΓ* et *TB*.

sint circuli paralleli, per quos puncta *N*, *K*, *Π*, *T* feruntur, *MΞ*, *ΘΛ*, *OP*, *ΣΥ*. et quoniam arcus *HK*, *KN*, *NΓ* inter se aequales sunt, *ZΛ*, *ΛΞ*, *ΞΓ* maiores inter se sunt incipientes a maximo *ZΛ* (Theodos. III, 7). eadem de causa etiam arcus *EΘ*, *ΘM*, *MA* maiores inter se sunt incipientes a maximo *EΘ*, et praeterea *ZP*, *PΥ*, *ΥΛ* maiores inter se sunt incipientes a maximo *ZP*, et praeterea *EO*, *OΣ*, *ΣB* maiores inter se sunt incipientes a maximo *EO*. et quoniam arcus *ΓN*, *NK*, *KH*, *HΠ*, *ΠT*, *TB* in arcubus *ΓΞ*, *ΞΛ*, *ΛZ*, *ZP*, *PΥ*, *ΥΛ* oriuntur et in *AM*, *MΘ*, *ΘE*, *EO*, *OΣ*, *ΣB* occidunt, inaequalibus horizontis segmentis et oriuntur et occidunt. et quoniam in sphaera circuli paralleli *ΘΛ*, *OP* maximi alicuius circuli *ΓB* aequales arcus *ΠH*, *HK* ad maximum parallelorum *EZ* auferunt, circulus *ΘΛ* circulo *OP* aequalis est (ib. II, 17). iamquoniam in sphaera circuli aequales et paralleli *ΘΛ*, *OP* maximi alicuius circuli *ΑΒΓΛ* arcus *ΛZ*, *ZP* ad maximum parallelorum *EZ* auferunt, arcus *ΛZ* arcui *ZP* aequalis est (ib. II, 18). iam similiter demonstrabimus, etiam arcum *ΞZ* arcui



φερεία· λοιπὴ ἄρα ἡ ΞΛ λοιπῇ τῇ ΡΥ ἴση ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΓΞ ἴση ἐστὶ τῇ ΥΛ.

τὰ ἄρα ζῳδια ἐν ἀνίσοις τμήμασι τοῦ ὁρίζοντος ἀνατέλλει τε καὶ δύνει, καὶ ἐν μεγίστοις μὲν τὰ πρὸς τῷ ἰσημερινῷ, ἐν ἐλάσσοσι δὲ τὰ ἑξῆς τούτων, ἐν ἐλαχίστοις δὲ τὰ πρὸς τοῖς τροπικοῖς, ἐν ἴσοις δὲ τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ κύκλου.

θ'.[1])

Τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα τὰς ἀρχὰς μὴ ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον, ἐν ἐλάσσονι δὲ τὰ μετὰ αὐτὸν ἑξῆς, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τὸν Αἰγόκερων, ὅταν ὁ βόρειος πόλος ὑπὲρ τὸν ὁρίζοντα ᾖ καὶ ἔτι ὁ μέγιστος τῶν ἀεὶ φανερῶν ἐλάττων ἢ τοῦ θερινοῦ τροπικοῦ· ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

Recensio b.

θ'. Τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει ὅλα, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον, ἐν ἐλάσσονι δὲ τὰ ἑξῆς τούτου, ἐν ἐλαχίστοις δὲ τὸ μετὰ τὸν Αἰγόκερω· ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

---

a. 1. ἐστιν ἴση Vat. 8. θ'] ι' v. 11. τὸ V, item lin. 13; τὰ Ll. μετά] κατά L; κατά (με m. 1) v'; item lin. 12. 13. ὅταν 15. τροπικοῦ] expunctum, sed punctis erasis restitutum V; fort. interpolatum 13 Post πόλος del. τῶν παραλλήλων V, om. cett. 14. καί] expunctum V. ὁ] V, mg. ὅταν ὁ m. 2. ἀεὶ φανερῶν] in ras. V. φανερῶν] comp. l, φανῶν Lv'. 15. ἀρχάς] supra m. 1 V.

---

b. 4. ὅλα] fort. interpolatum.

ZT aequalem esse. itaque reliquus arcus $\Xi\Delta$ reliquo arcui PT aequalis est. eadem de causa etiam arcus $\Gamma\Xi$ arcui $T\Delta$ aequalis est.

ergo signa inaequalibus segmentis horizontis et oriuntur et occidunt, ac maximis quidem ea, quae ad aequinoctialem sunt, minoribus autem ea, quae haec deinceps sequuntur, minimis autem ea, quae ad tropicos sunt, et aequalibus ea, quae ab aequinoctiali circulo aequali intervallo distant.

IX.

Circuli zodiaci semicirculi, quicumque in eodem circulo parallelo principia non habent, inaequalibus temporibus oriuntur, ac maximo quidem is, qui post Cancrum est, minore autem ii, qui hunc deinceps sequuntur, minimo autem is, qui post Capricornum est, si polus septentrionalis supra horizontem est atque etiam maximus circulorum, qui semper conspicui sunt, minor est tropico aestivo; quicumque autem principia in eodem circulo parallelo habent, aequali tempore oriuntur.

Recensio **b**.

IX. Circuli zodiaci semicirculi, qui in eodem circulo parallelo principia non habent, inaequalibus temporibus toti oriuntur ac maximo quidem is, qui post Cancrum est, minore autem ii, qui hunc deinceps sequuntur, minimis autem is, qui post Capricornum est; quicumque autem principia in eodem circulo parallelo habent, aequalibus temporibus oriuntur.

---

1) In hac propositione cod. V ad cod. Vat. eiusve adfinem a m. 2 correctus est; etiam litterae textus ad figuram pertinentes et ipsius figurae in litteras rec. **b** mutatae sunt; ego priores litteras, quarum magna pars plane evanuit, restitui. Ll v′ correctiones manus 2 V in textum receperunt. in figura cod. V pro N est M; M igitur bis usurpatur; verba τὸ μετὰ (μετὰ τά V) τὸν αἰγόκερω et τὸ μετὰ τὸν καρκίνον m. 2 V, item δύσις. in figg. codd. Ll Z et N desunt; in v′ pro N est Z, om. N.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ *ΑΒΓ*, θερινὸς δὲ τροπικὸς ὁ *ΔΑ*, χειμερινὸς δὲ τροπικὸς ὁ *ΕΓ*, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν *ΑΓΖ*, καὶ ἔστω τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον ὑπὸ γῆν τὸ *ΑΖΓ*· τὸ δὲ *ΓΗΑ* ἡμικύκλιον ἔστω τὸ μετὰ τὸν Αἰγόκερων καὶ ἔστω ὑπὲρ γῆς. ἀπειλήφθωσαν δὴ ἴσαι περιφέρειαι αἱ *ΓΗ*, *ΖΑ*, ὥστε εἶναι τὸ *Ζ* τῷ *Η* κατὰ διάμετρον, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ *Ζ*, *Η* σημεῖα, οἱ *ΒΖΘ*, *ΚΗΛ*· τὸ ἄρα *Μ* τῷ *Ν* κατὰ διάμετρον· λέγω



ἔστω ἐν κόσμῳ ὁρίζων ὁ *ΑΒΓ*, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ *ΑΔ*, χειμερινὸς δὲ τροπικὸς ὁ *ΒΓ*, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν *ΔΕΒΖ*, καὶ ἔστω ἀνατολικὰ μὲν τὰ *Γ*, *Δ* μέρη, δυτικὰ δὲ τὰ *Α*, *Β*, καὶ τὸ μὲν *ΔΕΒ* ἔστω τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον, τὸ δὲ *ΒΖΔ* τὸν μετὰ τὸν Αἰγόκερω· λέγω, ὅτι τοῦ τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα μὴ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, καὶ ἐν πλείστῳ μὲν τὸ μετὰ τὸν Καρκίνον τὸ *ΔΕΒ*, ἐν ἐλάσσονι δὲ τὰ ἐξῆς τούτου, ἐν ἐλα-

a. 3. Supra *ΑΓΖ* add. m. 2 V secundum rec. b lin. 3. καί — lin. 4. *Α*, *Β* (κείμενον), in textu cett. τό] supra m. 1 L.

b. 1. *ΑΒΓ*] add. *Δ* m. 2 Vat.

sit in mundo horizon $AB\Gamma$, aestivus autem tropicus ΔA, hiemalis autem tropicus $E\Gamma$, zodiacus autem circulus positionem habeat $A\Gamma Z$, et sit semicirculus $AZ\Gamma$, qui post Cancrum est, sub terra; ΓHA autem semicirculus sit post Capricornum et sit supra terram.

iam auferantur arcus aequales ΓH, ZA, ut sit Z puncto H iuxta diametrum oppositum, et sint circuli paralleli, per quos puncta Z, H feruntur, $BZ\Theta$, $KH\Lambda$; punctum M igitur puncto N iuxta diametrum oppositum;

---

sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem tropicus $B\Gamma$, zodiacus autem circulus positionem habeat ΔEBZ, et sint partes orientales Γ, Δ, occidentales autem A, B, et ΔEB sit semicirculus post Cancrum, $BZ\Delta$ autem semicirculus post Capricornum; dico, eos circuli zodiaci semicirculos, qui principia in eodem circulo parallelo non habeant, inaequalibus temporibus oriri ac maximo quidem semicirculum ΔEB, qui post Cancrum est, minore autem eos, qui hunc deinceps sequantur, minimo



---

6. ἔστω corr. ex ἐστί V; item lin. 8. 9. γῆς] γῆν v. Post γῆς mg. add. m. 2 V secundum rec. **b** lin. 6 λέγω — p. 48 lin. 2 ἀνατέλλει, in textu cett. 22. Supra $KH\Lambda$ add. m. 2 V secundum rec. **b** p. 48 lin. 6. καί — lin. 8. Z (κείμενον), in textu cett. Post $KH\Lambda$ del. καὶ ἔστω ὅμοι (sic) m. 1 V. λέγω — p. 48 lin. 3. $\Gamma M\Lambda$] del. m. 2 V, om. cett.

δή, ὅτι ἐν πλείστῳ μὲν χρόνῳ τὸ *ΑΖΓ* ἡμικύκλιον ἀνατέλλει, ἐξῆς δὲ τὸ *ΖΓΗ*, μετὰ δὲ τοῦτο τὸ *ΝΓΜ*, ἐν ἐλαχίστῳ δὲ τὸ *ΓΜΑ*.

ἐπεὶ γὰρ μείζων ἐστὶν ἡ ὁμοία ἡ μὲν *ΔΑ* περιφέρεια τῆς *ΒΜΘ*, ἡ δὲ *ΒΜΘ* τῆς *ΛΗΚ*, ἡ δὲ *ΛΗΚ* τῆς *ΓΕ*, ἐν πλείονι ἄρα χρόνῳ τὸ *Α* τὴν *ΑΔ* περιφέρειαν διαπορεύεται ἥπερ τὸ *Ζ* ἀρξάμενον ἀπὸ τοῦ *Θ* τὴν *ΘΜΒ* διαπορεύεται, ἐν πλείονι δὲ ἀρξάμενον χρόνῳ τὸ *Ζ* ἀπὸ τοῦ *Θ* τὴν *ΘΜΒ* διαπορεύεται ἥπερ τὸ *Ν* ἀρξάμενον ἀπὸ τοῦ *Κ* τὴν *ΚΗΛ* διαπορεύεται καὶ τὸ *Ν* ἀρξάμενον ἀπὸ τοῦ *Κ* ἐν πλείονι χρόνῳ τὴν *ΚΗΛ* διαπορεύεται ἥπερ τὸ *Γ* ἀρξάμενον ἀπὸ τοῦ *Γ* τὴν *ΕΓ* διαπορεύεται· ἀλλ' ἐν ᾧ μὲν τὸ *Α* ἀρξάμενον ἀπὸ τοῦ *Α* τὴν *ΑΔ* περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ

χίστῳ δὲ τὸ μετὰ τὸν *Αἰγόκερω* τὸ *ΒΖΔ*, ὅσα δὲ τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ *ΔΕ*, *ΒΖ* καὶ γεγράφθωσαν παράλληλοι κύκλοι οἱ *ΗΕΘΜ*, *ΚΖΛΝ*, καθ' ὧν φέρεται τὰ *Ε*, *Ζ* σημεῖα, καὶ ἔστω αὐτῶν τὰ ὑπὲρ γῆν τμήματα τὰ *ΗΜΘ*, *ΚΖΛ*. ὁμοίως δὴ δείξομεν τοῖς πρότερον, ὅτι κατὰ διάμετρόν ἐστι τὸ μὲν *Ε* σημεῖον τῷ *Ζ* σημείῳ, τὸ δὲ *Μ* τῷ *Ν*. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ὁμοία ἡ *ΑΔ* περιφέρεια τῆς *ΗΜΘ* περιφερείας, ἡ δὲ *ΗΜΘ* τῆς *ΚΖΛ* καὶ ἔτι ἡ *ΚΖΛ* τῆς *ΒΓ*, ἐν πλείονι ἄρα χρόνῳ τὸ *Δ* σημεῖον ἀρξάμενον ἀπὸ τοῦ *Δ* τὴν *ΔΑ* περιφέρειαν διαπορεύεται ἥπερ τὸ *Ε* ἀρξάμενον ἀπὸ τοῦ *Θ* τὴν *ΘΜΗ* περιφέρειαν διαπορεύεται, καὶ τὸ *Ε* ἀρξάμενον ἀπὸ τοῦ *Θ* ἐν πλείονι χρόνῳ τὴν *ΘΜΗ* διαπορεύεται ἥπερ τὸ *Ν* ἀρξάμενον ἀπὸ τοῦ *Α* τὴν *ΛΖΚ* περιφέρειαν διαπορεύεται, καὶ τὸ *Ν* ἀρξάμενον ἀπὸ τοῦ *Λ* ἐν πλείονι χρόνῳ τὴν *ΛΖΚ* διαπορεύεται ἥπερ τὸ *Β* ἀρξάμενον ἀπὸ τοῦ *Γ* τὴν *ΓΒ* περιφέρειαν διαπορεύεται. ἀλλὰ ἐν ᾧ μὲν

---

a. 5. *ΒΜΘ* (utrumque)] *Β* om. v'. 6. Post *Α* supra add. ἀρξάμενον ἀπὸ τοῦ *Δ* V (m. 2) l, mg. L, in textu v'. 8. δια-

dico igitur, maximo tempore semicirculum $\Delta Z\Gamma$ oriri, deinceps autem $Z\Gamma H$, post hunc autem $N\Gamma M$, minimo autem ΓMA.

nam quoniam maior est quam similis arcus ΔA arcui $BM\Theta$, $BM\Theta$ autem arcui ΛHK, ΛHK autem arcui ΓE, maiore tempore A arcum $A\Delta$ percurrit quam Z exorsum a Θ arcum ΘMB percurrit, maiore autem tempore Z exorsum a Θ arcum ΘMB percurrit quam N exorsum a K arcum $KH\Lambda$ percurrit et N exorsum a K maiore tempore arcum $KH\Lambda$ percurrit quam Γ exorsum a Γ arcum $E\Gamma$ percurrit. verum quo tempore A exorsum ab A arcum $A\Delta$ percurrit, eo Γ iuxta diametrum ei

---

autem $BZ\Delta$, qui post Capricornum est; quicumque autem in eodem circulo parallelo principia habeant, eos aequalibus temporibus oriri.

auferantur aequales arcus ΔE, BZ et describantur circuli paralleli $HE\Theta M$, $KZ\Delta N$, per quos puncta E, Z feruntur, et sint segmenta eorum super terram $HM\Theta$, $KZ\Delta$. similiter igitur atque antea demonstrabimus, puncta E, Z et M, N iuxta diametrum opposita esse. et quoniam arcus $A\Delta$ maior est quam similis arcui $HM\Theta$, $HM\Theta$ autem arcui $KZ\Delta$ et praeterea $KZ\Delta$ arcui BI' (Theodos. II, 20), maiore tempore punctum Δ exorsum a Δ arcum ΔA percurrit quam E exorsum a Θ arcum ΘMH percurrit et E exorsum a Θ maiore tempore arcum ΘMH percurrit quam N exorsum a Λ arcum ΛZK percurrit et N exorsum a Λ maiore tempore arcum ΛZK percurrit quam B exorsum a Γ arcum

---

πορεύεται] seq.: *ἥπερ τὸ N ἀρξάμενον ἀπὸ τοῦ K τὴν KHΛ διαπορεύεται καὶ ἔτι τὸ N ἀρξάμενον ἀπὸ τοῦ K ἐν πλείονι χρόνῳ* V, sed punctis notatum; om. cett. *ἐν* — 11. *διαπορεύεται*] om. L. 8. *ἀρξάμενον* — Z] *χρόνῳ τὸ* Z *ἀρξάμενον* v'. 10. *τὴν KHΛ διαπορεύεται*] punctis del. V. Ante *τό* 1 litt. (comp.?) macula del. V; post *N* add. *ἄρα* v'. 13. *περιφέρειαν*] supra comp. add. V.

---

b. 5. *οἱ*] om. Vat

τὸ Γ ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν ὑπὸ γῆν διαπορεύεται τοῦ ΓΕ κύκλου καὶ ἀνατέλλει τὸ ΑΖΓ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ διαπορεύεται, ἐν τούτῳ καὶ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΝΚ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΖΓΗ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΗΛ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ καὶ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Β τὴν ΒΖΘ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΝΓΜ ἡμικύκλιον· ἐν ᾧ δὲ τὸ Γ ἀρξάμενον ἀπὸ τοῦ Ε τὴν ΕΓ ὑπὲρ γῆν περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Α ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΑ ὑπὸ γῆν περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΓΜΑ ἡμικύκλιον. ἐν πλείστῳ μὲν ἄρα χρόνῳ τὸ ΑΖΓ ἀνατέλλει, τουτέστι τὸ μετὰ τὸν Καρκίνον, ἑξῆς δὲ τὸ ΖΓΗ, μετὰ τοῦτο τὸ ΝΓΜ, ἐν ἐλαχίστῳ δὲ τὸ ΓΜΑ, τουτέστι τὸ μετὰ τὸν Αἰγόκερων.

χρόνῳ τὸ Δ σημεῖον τὴν ΔΑ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Β σημεῖον τὴν ἐναλλὰξ τὴν ΒΓ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΔΕΒ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΗ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΝΛ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΕΒΖ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΖΚ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Η τὴν ΗΕΘ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΝΒΜ ἡμικύκλιον· ἐν ᾧ δὲ χρόνῳ τὸ Β ἀρξάμενον ἀπὸ τοῦ Γ τὴν ΓΒ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ἐναλλὰξ τὴν ΑΔ διαπορεύεται καὶ ἀνατέλλει τὸ ΒΖΔ ἡμι-

---

a. 2. *ΑΖΓ*] *ΑΖΓΔ* V. 4. *καί*] *δὲ καί* VLl. 8. *Β*] om. l v′ (lac. 1 litt.), *Ε* L. 11. *ΕΓ*] *Ε* sustulit macula in V. *ὑπὲρ γῆν*] lineola del. m. 2 V, om. cett. Ante *τό* hab. *καί* expunctum m. 1 V. 13. *ὑπὸ γῆν*] del. et supra scr. *ἐναλλάξ* V

oppositum exorsum a Γ eum arcum circuli ΓE percurrit, qui sub terra est (prop. VI), et semicirculus $AZ\Gamma$ oritur. quo autem tempore Z exorsum a Θ arcum ΘMB percurrit, eo etiam H iuxta diametrum ei oppositum exorsum a Δ arcum ΔNK percurrit, et semicirculus $Z\Gamma H$ oritur. quo autem tempore N exorsum a K arcum $KH\Lambda$ percurrit, eo etiam M iuxta diametrum ei oppositum exorsum a B arcum $BZ\Theta$ percurrit et semicirculus $N\Gamma M$ oritur. quo autem tempore Γ exorsum ab E arcum $E\Gamma$, qui super terram est, percurrit, eo Λ iuxta diametrum ei oppositum exorsum a Δ arcum $\Delta\Lambda$, qui sub terra est, percurrit et semicirculus $\Gamma M\Lambda$ oritur. ergo maximo tempore $AZ\Gamma$, h. e. semicirculus post Cancrum oritur, deinceps autem $Z\Gamma H$, post eum $N\Gamma M$, minimo autem $\Gamma M\Lambda$, h. e. semicirculus post Capricornum.

ΓB percurrit. verum quo tempore punctum Δ arcum $\Delta\Lambda$ percurrit, eo punctum B iuxta diametrum ei oppositum alternum arcum $B\Gamma$ percurrit (prop. VI) et semicirculus ΔEB oritur; quo autem tempore E exorsum a Θ arcum ΘMH percurrit, eo Z iuxta diametrum ei oppositum exorsum a K arcum $KN\Lambda$ percurrit et semicirculus EBZ oritur; quo autem tempore N exorsum a Λ arcum ΛZK percurrit, eo M iuxta diametrum ei oppositum exorsum ab H arcum $HE\Theta$ percurrit et semicirculus NBM oritur; quo autem tempore B exorsum a Γ arcum ΓB percurrit, eo Δ iuxta diametrum ei oppositum exorsum ab Λ alternum arcum $\Lambda\Delta$ percurrit et semicirculus $BZ\Delta$ oritur. ergo maximo tem-

---

(m. 2) L; *ἐναλλάξ* in textu 1v′. 14. *χρόνῳ*] supra V1, om. L. 16. *NΓM*] *NΓMH* V, sed lineola del. et supra scr. *ἐν ἐλάσσονι καὶ ἔτι τοῦ EBZ ἐν ἐλάσσονι τὸ NBΔ* m. 2, et ita in textu cett. (*NΛΔ* pro *NBΔ* v′); v. p. 52 lin. 2sq. rec. **b**. 17. *ΓMΛ*] om. L1, lac. 3 litt.

---

b. 6. *KNΛ*] add. *περιφέρειαν* supra m. 2 Vat.

λέγω δέ, ὅτι καὶ ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

ἐπεὶ γὰρ ἐν ᾧ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ καὶ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ περιφέρειαν διαπορεύεται, ἀλλ' ἐν ᾧ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ διέρχεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΝΚ περιφέρειαν διέρχεται καὶ ἀνατέλλει τὸ ΖΓΗ ἡμικύκλιον, [προανατέλλει γὰρ τὸ μὲν Ζ τοῦ Γ, τὸ δὲ Γ τοῦ Η·] ἐν ᾧ δὲ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΒ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΝΚ διέρχεται καὶ ἀνατέλλει τὸ ΜΔΝ ἡμικύκλιον, [προανατέλλει γὰρ τὸ μὲν Μ τοῦ Ζ, τὸ δὲ Ζ τοῦ Ν·] τὰ ΖΓΗ, ΜΔΝ ἄρα ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

κύκλιον. ἐν πλείστῳ ἄρα χρόνῳ ἀνατέλλει τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον τὸ ΔΕΒ, ἐν ἐλάσσονι δὲ τοῦ ΔΕΒ τὸ ΕΒΖ καὶ ἔτι τοῦ ΕΒΖ ἐν ἐλάσσονι τὸ ΝΒΜ, ἐν ἐλαχίστῳ δὲ τὸ μετὰ τὸν Αἰγόκερω τὸ ΒΖΔ.

λέγω, ὅτι ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσοις χρόνοις ἀνατέλλει.

ἐχέτω γὰρ τὰ ΜΔΝ, ΕΒΖ ἡμικύκλια τὰς ἀρχὰς ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων· λέγω, ὅτι ἐν ἴσοις χρόνοις ἀνατέλλει τὰ ΜΔΝ, ΕΒΖ ἡμικύκλια.

ἐπεὶ ἐν ἴσῳ χρόνῳ τὸ Μ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΗ περιφέρειαν διαπορεύεται καὶ τὸ Ε ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΗ περιφέρειαν διαπορεύεται, ἀλλ' ἐν ᾧ μὲν χρόνῳ τὸ Μ σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ τὴν ΘΜΗ διαπορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Κ τὴν ΚΝΛ περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ ΜΔΝ ἡμικύκλιον, ἐν ᾧ δὲ χρόνῳ τὸ Ε σημεῖον ἀρξάμενον ἀπὸ τοῦ Θ σημείου τὴν ΘΜΗ περιφέρειαν δια-

---

a. 2. Post ἀνατέλλει add. secundum rec. b lin. 7. ἐχέτω — 9. ἡμικύκλια (κείμενον) supra et mg. V, in textu cett. 9. ΖΓΗ]

dico autem, etiam quicumque semicirculi principia in eodem circulo parallelo habeant, eos aequali tempore oriri.

nam quoniam quo tempore Z exorsum a Θ arcum ΘMB percurrit, eo etiam M exorsum a Θ arcum ΘMB percurrit, verum quo tempore Z exorsum a Θ arcum ΘMB percurrit, eo H iuxta diametrum ei oppositum. ab Δ exorsum arcum ΔNK percurrit et semicirculus $Z\Gamma H$ oritur, [nam Z ante Γ oritur, Γ autem ante H]; quo autem tempore M a Θ exorsum arcum ΘMB percurrit, eo N iuxta diametrum ei oppositum ab Δ exorsum arcum ΔNK percurrit, et semicirculus $M\Delta N$ oritur, [nam M ante Z oritur, Z autem ante N]; semicirculi $Z\Gamma H$, $M\Delta N$ aequali tempore oriuntur.

---

pore semicirculus ΔEB, qui post Cancrum est, oritur, minore autem quam ΔEB semicirculus EBZ et praeterea minore quam EBZ semicirculus NBM, minimo autem is, qui post Capricornum est, $BZ\Delta$.

dico, eos semicirculos, qui principia in eodem circulo parallelo habeant, aequalibus temporibus oriri.

nam habeant semicirculi $M\Delta N$, EBZ principia in eodem circulo parallelo; dico, semicirculos $M\Delta N$, EBZ aequalibus temporibus oriri.

quoniam aequali tempore punctum M exorsum a Θ arcum ΘMH percurrit et E exorsum a Θ arcum ΘMH percurrit, verum quo tempore punctum M exorsum a Θ arcum ΘMH percurrit, eo N iuxta diametrum ei oppositum exorsum a K arcum $KN\Delta$ percurrit et semicirculus $M\Delta N$ oritur, quo autem tempore punctum E exorsum a puncto Θ arcum

om. L1, lac. 3 litt. *προανατέλλει* — 10. H et 13. *προανατέλλει* — 14. N] lineolis del. V, om. cett., interpolata sunt. 10. M] om. L1, lac. 1 litt. 14. *τά* — 15. *ἡμικύκλια*] del. et supra *ἐν* add. *ἄρα* (comp.), mg. *τὰ* $M\Delta N$, EBZ *ἡμικύκλια* (*κείμενον*) V, et ita in textu cett.

b. 10. *ἐπεί*] add. *γάρ* m. 2 Vat.

τοῦ ἄρα τῶν ζῳδίων κύκλου τὰ ἡμικύκλια, ὅσα τὰς ἀρχὰς ἔχει ἐπὶ τοῦ αὐτοῦ τῶν παραλλήλων, ἐν ἴσῳ χρόνῳ ἀνατέλλει.

ι΄.

Ἐὰν τοῦ τῶν ζῳδίων κύκλου δύο ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλῃ κοινήν τινα ἔχοντα περιφέρειαν, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν, καὶ ἡ αὐτὴ διαφορὰ ἔσται τῶν χρόνων, ἐν οἷς τά τε ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι ἀνατέλλουσιν· καὶ ἐὰν τοῦ τῶν ζῳδίων κύκλου δύο ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλῃ κοινήν τινα ἔχοντα περιφέρειαν, καὶ αἱ ἀπεναντίον περιφέρειαι ἐν ἴσῳ χρόνῳ ἀνατέλλουσιν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $AE\Gamma\Delta$, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ $A\Delta$, ΓE· κατὰ διάμετρον ἄρα ἐστὶ τὸ Δ τῷ E. τὰ δὲ $A\Delta\Gamma$, $\Delta\Gamma E$ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατελλέτω· λέγω, ὅτι καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ $A\Delta$, ΓE ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσι καὶ

πορεύεται, ἐν τούτῳ τὸ κατὰ διάμετρον αὐτῷ τὸ Z ἀρξάμενον ἀπὸ τοῦ K τὴν KNA περιφέρειαν διαπορεύεται καὶ ἀνατέλλει τὸ EBZ ἡμικύκλιον, ἐν ἴσῳ ἄρα χρόνῳ ἀνατέλλει τὰ $M\Delta N$, EBZ ἡμικύκλια.

---

4. ι΄] ια΄ ν΄. 6. ἀνατέλλῃ] post ἡμικύκλια (lin. 5) scr. Vat. 7. ἀπεναντίων V. ἀνατέλλουσι V, ut lin. 13. 8. ἡ — ἔσται] αἱ αὐταὶ διαφοραὶ ἔσονται Vat. 10. ἀνατέλλουσιν] om. Vat.

Recensio b.

p. 54, 14 sqq. ἔστω κύκλος ὁρίζων ὁ $AB\Delta\Gamma$, καὶ θερινὸς μὲν τροπικὸς ὁ $A\Gamma$, χειμερινὸς δὲ ὁ $B\Delta$, ζῳδιακὸς δὲ ὁ ΓB, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΓE, BZ· τὰ ἄρα

ergo circuli zodiaci semicirculi, quicumque principia in eodem circulo parallelo habent, aequali tempore oriuntur.

X.

Si duo circuli zodiaci semicirculi communem aliquem habentes arcum inaequalibus temporibus oriuntur, etiam arcus oppositi inaequalibus temporibus oriuntur et eadem differentia erit temporum, quibus et semicirculi et arcus oppositi oriuntur; et si duo circuli zodiaci semicirculi communem aliquem habentes arcum aequali tempore oriuntur, etiam arcus oppositi aequali tempore oriuntur.



sit in mundo horizon $AB\Gamma$, zodiacus autem circulus positionem habeat $AE\Gamma\Delta$, et auferantur aequales arcus $A\Delta$, ΓE iuxta diametrum igitur oppositum est punctum Δ puncto E. iam semicirculi $A\Delta\Gamma$, $\Delta\Gamma E$ inaequalibus temporibus oriuntur; dico, etiam arcus oppositos $A\Delta$, ΓE inaequalibus tem-

---

ΘMH percurrit, eo Z iuxta diametrum ei oppositum exorsum a K arcum $KN\Lambda$ percurrit et semicirculus EBZ oritur, aequali tempore semicirculi $M\Lambda N$, EBZ oriuntur.

11. *ἐν ἴσοις χρόνοις* Vat., ut lin. 12. *ἔχοντα*] *-τα* corr. ex *των* m. 2 V 14. *ζῳδίων*] corr. ex *ζῳδιακῶν* m. 1 V. 17. *ἀνίσοις*] *ἀν-* add. supra m. 2 V, ut p. 56 lin. 4 et 7 (*ἀνίσῳ*).

Recensio b.

sit circulus horizon $AB\Delta\Gamma$ et aestivus tropicus $A\Gamma$, hiemalis autem $B\Delta$ et zodiacus ΓB, et auferantur aequales arcus IE, BZ. itaque semicirculi ΓEB, EBZ inaequalibus

ἡ αὐτὴ διαφορά ἐστι τῶν χρόνων, ἐν οἷς τὰ ΑΔΓ, ΔΓΕ ἡμικύκλια ἀνατέλλει καὶ ἐν οἷς αἱ ΑΔ, ΓΕ περιφέρειαι ἀνατέλλουσιν.

ἐπεὶ γὰρ τὰ ΑΔΓ, ΔΓΕ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλει, κοινὸς ἀφῃρήσθω ὁ τῆς ΔΓ ἀνατολῆς χρόνος· (ἡ γὰρ ΔΓ περιφέρεια ἑαυτῇ ἀεὶ ἐν ἴσῳ χρόνῳ ἀνατέλλει)· λοιπαὶ ἄρα αἱ ΑΔ, ΓΕ περιφέρειαι ἐν ἀνίσῳ χρόνῳ ἀνατέλλουσι καὶ αἱ αὐταὶ διαφοραί εἰσι τῶν χρόνων, ἐν οἷς τά τε ΑΔΓ, ΔΓΕ ἡμικύκλια ἀνατέλλει καὶ αἱ ἀπεναντίον περιφέρειαι αἱ ΑΔ, ΓΕ. πάλιν δὴ τὰ ΑΔΓ, ΔΓΕ ἡμικύκλια ἐν ἴσῳ χρόνῳ ἀνατέλλει· κοινὸς ἀφῃρήσθω ὁ τῆς ΓΔ περιφερείας χρόνος· λοιπαὶ ἄρα αἱ ΑΔ, ΓΕ ἐν ἴσῳ χρόνῳ ἀνατέλλουσιν.

ΓΕΒ, ΕΒΖ ἡμικύκλια ἐν ἀνίσοις χρόνοις ἀνατέλλει· λέγω, ὅτι καὶ αἱ ΓΕ, ΒΖ περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἀνατέλλουσιν.

νήτη W. *ἐναρμόνιος*] del. M^4; om. W, item lin. 17, 19. 17. *ἐναρμόνιος*] perfossum M. 18. *παραμέση διεζευγμένων ἐναρμόνιος* W. 25. Add. *ἐναρμόνιος* W. 22—25. ita in **B**; in M rasura et fere omnia nova. 26. *ἐναρμόνιος* —28. *ὑπάτων*] om. W. 29. Post *μέσων* add. *χρωματικὴ λιχανὸς ὑπάτων* W.

λιχανὸς μέσων ἐναρμόνιος
λιχανὸς μέσων χρωματική
λιχανὸς μέσων διάτονος
μέση
τρίτη συνημμένων
παρανήτη συνημμένων ἐναρμόνιος
παρανήτη συνημμένων χρωματική
παρανήτη συνημμένων διάτονος
νήτη συνημμένων
παραμέση
τρίτη διεζευγμένων
παρανήτη διεζευγμένων ἐναρμόνιος
παρανήτη διεζευγμένων χρωματική
παρανήτη διεζευγμένων διάτονος
νήτη διεζευγμένων
τρίτη ὑπερβολαίων
παρανήτη ὑπερβολαίων ἐναρμόνιος
παρανήτη ὑπερβολαίων χρωματική
παρανήτη ὑπερβολαίων διάτονος
νήτη ὑπερβολαίων.

τῶν δὲ ἐξηριθμημένων φθόγγων οἱ μέν εἰσιν ἑστῶτες, οἱ δὲ κινούμενοι. ἑστῶτες μὲν οὖν εἰσιν, ὅσοι ἐν ταῖς τῶν γενῶν διαφοραῖς οὐ μεταπίπτουσιν, ἀλλὰ μένουσιν ἐπὶ μιᾶς τάσεως. κινούμενοι δέ, ὅσοι τοὐναντίον πεπόνθασιν· ἐν γὰρ ταῖς τῶν γενῶν διαφοραῖς μεταβάλλουσι καὶ οὐ μένουσιν ἐπὶ μιᾶς τάσεως. εἰσὶν οὖν οἱ μὲν ἑστῶτες ὀκτὼ οἵδε· προσλαμβανόμενος, ὑπάτη ὑπάτων, ὑπάτη μέσων, μέση, νήτη συνημμένων, παραμέση, νήτη διεζευγμένων, νήτη ὑπερβολαίων· κινούμενοι δὲ οἱ ἀνὰ μέσον τούτων πάντες.

τῶν δὲ ἑστώτων οἱ μέν εἰσι βαρύπυκνοι, οἱ δὲ

---

11. τρίτη] M in ras., νήτη W. 12. γμένων —14. διάτονος] M⁴ in ras. 16. ὑπερβολαίων] add. χρωματική W. 17. ἐν-

lichanos meson enarmonios
lichanos meson chromatice
lichanos meson diatonos
mese
trite synemmenon.
paranete synemmenon enarmonios
paranete synemmenon chromatice
paranete synemmenon diatonos
nete synemmenon
paramese
trite diezeugmenon
paranete diezeugmenon enarmonios
paranete diezeugmenon chromatice
paranete diezeugmenon diatonos
nete diezeugmenon
trite hyperbolaeon
paranete hyperbolaeon enarmonios
paranete hyperbolaeon chromatice
paranete hyperbolaeon diatonos
nete hyperbolaeon.

sonorum autem, qui enumerati sunt, alteri sunt stantes, alteri mobiles. ac stantes quidem sunt, quotquot in generum differentiis non mutantur, sed manent in una tensione; mobiles vero, quotquot contrarium subierunt; in generum enim differentiis mutantur neque manent in una tensione. sunt igitur stantes octo hi: proslambanomenos, hypate hypaton, hypate meson, mese, nete synemmenon, paramese, nete diezeugmenon, nete hyperbolaeon; mobiles vero, qui sunt in horum medio, omnes.

stantium alii sunt barypycni, alii apycni et compre-

αρμόνιος — 19. *ὑπερβολαίων*] om. W. 24. *κινούμενοι* —26. *τάσεως*] om. W. 30. *οἱ*] *οἵδε οἱ* W. *μέσων* W. 31. *τῶν ἑστώτων οἱ βαρύπυκνοι* M mg. m. 2.

ἄπυκνοι καὶ περιέχοντες τὰ τέλεια συστήματα. βαρύπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε· ὑπάτη ὑπάτων, ὑπάτη μέσων, μέση, παραμέση, νήτη διεζευγμένων. ἄπυκνοι δὲ καὶ περιέχοντες τὰ τέλεια συστήματα οἱ λοιποὶ τρεῖς οἵδε· προσλαμβανόμενος, νήτη συνημμένων, νήτη ὑπερβολαίων.

τῶν δὲ κινουμένων οἱ μέν εἰσι μεσόπυκνοι, οἱ δὲ ὀξύπυκνοι, οἱ δὲ διάτονοι. μεσόπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε· παρυπάτη ὑπάτων, παρυπάτη μέσων, τρίτη συνημμένων, τρίτη διεζευγμένων, τρίτη ὑπερβολαίων. ὀξύπυκνοι δὲ ὁμοίως κατὰ γένος πέντε, ἐν μὲν ἁρμονίᾳ οἱ ἐναρμόνιοι, ἐν δὲ χρώματι οἱ χρωματικοί· τὸ γὰρ διάτονον οὐ μετέχει πυκνοῦ. εἰσὶν οὖν οἱ μὲν ἐν τῇ ἁρμονίᾳ οἵδε· λιχανὸς ὑπάτων ἐναρμόνιος, λιχανὸς μέσων ἐναρμόνιος, παρανήτη συνημμένων ἐναρμόνιος, παρανήτη διεζευγμένων ἐναρμόνιος, παρανήτη ὑπερβολαίων ἐναρμόνιος. ἐν δὲ τῷ χρώματι οἵδε· λιχανὸς ὑπάτων χρωματική, λιχανὸς μέσων χρωματική, παρανήτη συνημμένων χρωματική, παρανήτη διεζευγμένων χρωματική, παρανήτη ὑπερβολαίων χρωματική. ⟨οἱ δὲ διατόνοι⟩ οἵδε· λιχανὸς ὑπάτων διάτονος, λιχανὸς μέσων διάτονος, παρανήτη συνημμένων διάτονος, παρανήτη διεζευγμένων διάτονος, παρανήτη ὑπερβολαίων διάτονος.

5. Τῶν δὲ διαστημάτων διαφοραί εἰσι πέντε, ᾗ τε μεγέθει ἀλλήλων διαφέρει καὶ ᾗ κατὰ γένος καὶ ᾗ τὰ σύμφωνα τῶν διαφώνων καὶ ᾗ τὰ σύνθετα τῶν ἀσυνθέτων καὶ ᾗ τὰ ῥητὰ τῶν ἀλόγων. ἡ μὲν οὖν κατὰ μέγεθός ἐστι, καθ' ἣν ἃ μέν ἐστι μείζονα τῶν διαστη-

---

4. οἱ ἄπυκνοι M mg. m. 2. 7. τῶν κινουμένων μεσόπυκνοι ὀξύπυκνοι διάτονοι M mg. m. 2. 9. παρυπάτη (pr.)] M^4, ὑπάτη M^1. 10. τρίτη (alt.)] M^4, τῶν M^1. 12. χώματι M^1, sed corr. 18. χρωματική (alt.) — 22. συνημμένων] om. W. 18. χρωματική (alt.)] corr. ex δίτονος M^4; item lin. 19. 20. οἱ δὲ διάτονοι] Jan, ἐν δὲ διατόνῳ NB. 21. λιχανὸς — 23. διάτονος] NB, om. M. 24. ᾗ τε μεγέθει] ἢ τὰ μεγέθη W. 25. Post

hendentes systemata perfecta. ac barypycni quidem sunt quinque hi: hypate hypaton, hypate meson, mese, paramese, nete diezeugmenon. apycni vero et comprehendentes systemata perfecta hi tres reliqui: proslambanomenos, nete synemmenon, nete hyperbolaeon.

mobilium autem alii sunt mesopycni, alii oxypycni, alii diatoni. ac mesopycni quidem sunt quinque hi: parhypate hypaton, parhypate meson, trite synemmenon, trite diezeugmenon, trite hyperbolaeon. oxypycni vero similiter secundum genus quinque, in harmonia enarmonii, in chromate chromatici; diatonum enim spissi particeps non est. sunt igitur in harmonia hi: lichanos hypaton enarmonios, lichanos meson enarmonios, paranete synemmenon enarmonios, paranete diezeugmenon enarmonios, paranete hyperbolaeon enarmonios. in chromate autem hi: lichanos hypaton chromatice, lichanos meson chromatice, paranete synemmenon chromatice, paranete diezeugmenon chromatice, paranete hyperbolaeon chromatice. diatoni autem hi: lichanos hypaton diatonos, lichanos meson diatonos, paranete synemmenon diatonos, paranete diezeugmenon diatonos, paranete hyperbolaeon diatonos.[1])

5. Intervallorum differentiae sunt quinque, quatenus magnitudine inter se differunt et quatenus genere et quatenus consona a dissonis et quatenus composita ab incompositis et quatenus rationalia ab irrationalibus. ac differentia quidem secundum magnitudinem est, se-

---

1) V. quae de hoc loco corrupto diserte disputavit J. Cook Wilson, Classical Rev. XVIII 1904, p. 388 sq.

γένος add. *ἀλλήλων* W. 26. *ἥ*] W, om. cett., item lin. 27. *σύνθετα τῶν ἀσύνθετων*] *ἀσύνθετα τῶν συνθέτων* W.

μάτων, ἃ δὲ ἐλάττονα, οἷον δίτονον, τόνος, ἡμιτόνιον, διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν καὶ τὰ ὅμοια. ἡ δὲ κατὰ γένος, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων διατονικά, ἃ δὲ χρωματικά, ἃ δὲ ἐναρμόνια. ἡ δὲ τοῦ συμφώνου, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων σύμφωνα, ἃ δὲ διάφωνα. σύμφωνα μὲν οὖν ἐστι διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν καὶ τὰ ὅμοια. διάφωνα δὲ τὰ ἐλάττονα τοῦ διὰ τεσσάρων πάντα καὶ τὰ μεταξὺ τῶν συμφώνων πάντα. ἐλάττω μὲν οὖν ἐστι τοῦ διὰ τεσσάρων δίεσις, ἡμιτόνιον, τόνος, δίτονον, μεταξὺ δὲ τῶν συμφώνων τρίτονον, τετράτονον, πεντάτονον καὶ τὰ ὅμοια. ἔστι δὲ συμφωνία μὲν κρᾶσις δύο φθόγγων, ὀξυτέρου καὶ βαρυτέρου· ⟨διαφωνία δὲ τοὐναντίον δύο φθόγγων ἀμιξία⟩, ὥστε μὴ κραθῆναι, ἀλλὰ τραχυνθῆναι τὴν ἀκοήν. ἡ δὲ τοῦ συνθέτου ἐστὶ διαφορά, καθ' ἣν ἃ μέν ἐστι τῶν διαστημάτων ἀσύνθετα, ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν οὖν διαστήματά ἐστι τὰ ὑπὸ τῶν ἑξῆς φθόγγων περιεχόμενα, οἷον ὑπάτης καὶ παρυπάτης, καὶ λιχανοῦ καὶ μέσης· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν διαστημάτων. σύνθετα δὲ τὰ ὑπὸ τῶν μὴ ἑξῆς, οἷον μέσης καὶ παρυπάτης, μέσης καὶ νήτης, παραμέσης καὶ ὑπάτης. ἔστι δέ τινα κοινὰ συνθέτου καὶ ἀσυνθέτου διαστήματα, τὰ ἀπὸ ἡμιτονίου μέχρι διτόνου. τὸ μὲν γὰρ ἡμιτόνιόν ἐστιν ἐν ἁρμονίᾳ σύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ ἀσύνθετον· ὁ τόνος ἐν μὲν χρώματι σύνθετος, ἐν δὲ διατόνῳ ἀσύνθετος· τὸ τριημιτόνιον ἐν μὲν χρώματι ἀσύνθετον, ἐν δὲ διατόνῳ σύνθετον· τὸ δίτονον ἐν μὲν ἁρμονίᾳ ἀσύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ σύνθετον. τὰ δὲ ἐλάττω τοῦ ἡμιτονίου

---

1. δίτονον] διάτονον W. Post δίτονον add. τριημιτόνιον M⁴. τόνος] τόνος καὶ τόνος καί W. Post ἡμιτόνιον add. δίεσις M⁴. 2. διά (pr.)] τὰ διά W. 8. πάντα] M², πέντε M¹ W. 9. ἐλάττω] NB, ἐλάττων M, ἐλάττονα W. 10. Post τόνος add. τριημιτόνιον M⁴. 13. διαφωνία — ἀμιξία Pena, Meibom, Jan., om. codd. 14. ὥστε μή] μὴ ὥστε MW. κραθῆναι] ἢ καθαρθῆναι

cundum quam alia intervallorum sunt maiora, alia minora, velut ditonum, tonus, semitonium, diatessaron, diapente, diapason similiaque. differentia autem secundum genus, secundum quam alia intervallorum sunt diatonica, alia chromatica, alia enarmonia. differentia autem consoni, secundum quam alia intervallorum sunt consona, alia dissona. consona sunt igitur diatessaron, diapente, diapason similiaque. dissona vero sunt ea, quae minora sunt quam diatessaron, omnia et ea, quae inter consona sunt, omnia. et minora quidem sunt quam diatessaron diesis, semitonium, tonus, ditonum, inter consona autem tritonum, tetratonum, pentatonum similiaque. atque consonantia est permixtio duorum sonorum, acutioris et gravioris, dissonantia vero contrarie duorum sonorum fuga permixtionis, ita ut non misceantur atque auditus exasperetur. compositi autem est differentia, secundum quam alia intervallorum sunt incomposita, alia composita. atque incomposita sunt intervalla, quae sonis deinceps conlocatis comprehenduntur, velut hypate et parhypate, lichano et mese. eadem ratio est in ceteris quoque intervallis. composita vero ea, quae sonis non deinceps conlocatis comprehenduntur, velut mese et parhypate, mese et nete, paramese et hypate. sunt autem communia quaedam compositi et incompositi intervalla, ea dico, quae a semitonio sunt usque ad ditonum. semitonium enim in harmonia est compositum, in chromate vero et diatono incompositum; tonus in chromate est compositus, in diatono incompositus; triemitonium in chromate incompositum, in diatono compositum; ditonum in harmonia

M, *ἐκκαθαρθῆναι* W. 18. Ante *περιεχόμενα* add. *μή* W. *καί* M^4, om. M^1W. 19. Ante *μέσης* insert. *ὑπάτης* M^4 20. *τῶν μή*] *τά* W. 21. *μέσης καί νήτης*] om. W. 23. *διτόνου*] *διατόνου* W. 24. *ἐστιν*] om. W. Post *ἁρμονίᾳ* add. *μέν* W. 28. *δίτονον*] W, *δί///τονον* M.

πάντα ἐστὶν ἀσύνθετα· ὁμοίως δὲ καὶ τὰ μείζω τοῦ διτόνου πάντα σύνθετα. ἡ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορά ἐστι, καθ' ἣν τῶν διαστημάτων ἃ μὲν ἐστι ῥητά, ἃ δ' ἄλογα. ῥητὰ μὲν οὖν ἐστιν, ὧν οἷόν τέ ἐστι τὰ μεγέθη ἀποδιδόναι, οἷον τόνον, ἡμιτόνιον, δίτονον, τρίτονον καὶ τὰ ὅμοια· ἄλογα δὲ τὰ παραλλάττοντα ταῦτα τὰ μεγέθη ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον ἀλόγῳ τινὶ μεγέθει.

6. *Γένη δέ ἐστι τρία τὰ προειρημένα. πᾶν οὖν ἔσται μέλος ἤτοι διατονικὸν ἢ χρωματικὸν ἢ ἐναρμόνιον ἢ κοινὸν ἢ μικτὸν ἐκ τούτων. διατονικὸν μὲν οὖν ἐστι τὸ τῇ διατονικῇ διαιρέσει χρώμενον, χρωματικὸν δὲ τὸ τῇ χρωματικῇ, ἐναρμόνιον δὲ τὸ τῇ ἐναρμονίῳ. κοινὸν δὲ τὸ ἐκ τῶν ἑστώτων συγκείμενον, μικτὸν δὲ τό, ἐν ᾧ δύο ἢ τρεῖς χαρακτῆρες γενικοὶ ἐμφαίνονται, οἷον διατόνου καὶ χρώματος ἢ διατόνου καὶ ἁρμονίας ἢ χρώματος καὶ ἁρμονίας ἢ καὶ διατόνου καὶ χρώματος καὶ ἁρμονίας. γίνονται δὲ αἱ τῶν γενῶν διαφοραὶ παρὰ τοὺς κινουμένους τῶν φθόγγων· κινεῖται δὲ ἡ μὲν λιχανὸς ἐν τονιαίῳ τόπῳ, ἡ δὲ παρυπάτη ἐν διεσιαίῳ. λιχανὸς μὲν οὖν ἐστιν ὀξυτάτη ἡ τόνον ἀπὸ τοῦ ἑτέρου ἀπέχουσα τῶν τὸ τετράχορδον περιεχόντων, βαρυτάτη δὲ ἡ δίτονον. ὁμοίως δὲ καὶ παρυπάτη ἐστὶ βαρυτάτη μὲν ἡ δίεσιν ἀπὸ τοῦ βαρυτέρου τῶν τὸ τετράχορδον περιεχόντων ἀπέχουσα, ὀξυτάτη δὲ ἡ ἡμιτόνιον ἀπέχουσα.*

7. *Χρόα δέ ἐστι γένους εἰδικὴ διαίρεσις. χρόαι δέ εἰσιν αἱ ῥηταὶ καὶ γνώριμοι ἓξ, ἁρμονίας μία, χρώματος τρεῖς, διατόνου δύο.*

1. ὁμοίως] ἔμπαλιν W. 7. τά — 8. τινί] τῷ W. 9. ἐστι] εἰσι W. προειρημένα] seq. lac. 2.—3. litt. et deinde pro titulo in textu: περὶ μέλους W. 14. τό (pr.)] τὸ τό W. Post ἑστώτων add. φθόγγων W. 16. ἁρμονίας] ας in ras. M, item lin. 17. (utrumque). 19. Post φθόγγων add. τόπους W. 20. διεσιαίῳ] M⁴, δ//σιαίω M¹, δεσίῳ W. 21. ἑτέρου] ὀξυτέρου M⁴, ἑτέρου τόνου W. 22. τετραχόρδων W. δί///τονον M, item p. 202 lin. 3. 23. καί] om. W. δίεσιν — 25. ἀπέχουσα (alt.)]

incompositum, in chromate et diatono compositum. intervalla vero, quae sunt hemitonio minora, omnia sunt incomposita; eodem modo etiam ea, quae sunt maiora ditono, omnia composita. rationalis vero et irrationalis est differentia, secundum quam intervallorum alia sunt rationalia, alia irrationalia. atque rationalia sunt, quorum magnitudines possunt indicari, velut tonus, semitonium, ditonum, tritonum similiaque; irrationalia vero, quae has magnitudines sive maius sive minus versus transgrediuntur irrationali quadam magnitudine.

6. Genera autem sunt tria, quae autea nominata sunt. omne igitur melos aut diatonicum erit aut chromaticum aut enarmonium aut commune aut mixtum ex his. diatonicum est igitur id, quod diatonica divisione utitur, chromaticum id, quod chromatica, enarmonium id, quod enarmonia. commune vero id, quod ex stantibus est compositum, mixtum id, in quo duo vel tres habitus generales adparent, velut diatoni et harmoniae aut chromatis et harmoniae aut et diatoni et chromatis et harmoniae. fiunt autem generum differentiae secundum mobiles sonorum. et lichanos quidem in toniaeo ambitu movetur, parhypate vero in diesiaeo. ac lichanos acutissima est ea quae tono abest ab altero eorum sonorum, qui tetrachordum comprehendunt, gravissima, quae ditono. eodem autem modo etiam parhypate est gravissima, quae diesi abest a graviore eorum sonorum, qui tetrachordum comprehendunt, acutissima vero, quae hemitonio abest.

7. Color autem est specialis generis divisio. colores autem sunt rationales et perceptu faciles sex, harmoniae unus, chromatis tres, diatoni duo.

τοῦ βαρυτέρου τὸ τῶν τετραχόρδων περιεχόντων δίτονον ἀπέχουσα, ὀξυτάτη δὲ ἡ τόνον ἀπέχουσα ἀπὸ τῶν τετραχόρδων περιεχόντων W. 26. *γένους*] *ἡ γένους* W. *χρόαι*] *χροιαί* MW, prius *ι* eras. M. 27. *ἁρμονίας*] *ἡ τοῦ ἐναρμονίου γένους* supra M^4.

ἡ μὲν οὖν τῆς ἁρμονίας τῇ αὐτοῦ τοῦ γένους διαιρέσει κέχρηται· μελῳδεῖται γὰρ κατὰ δίεσιν καὶ δίεσιν τὴν ἴσην καὶ δίτονον.

τῶν δὲ χρωματικῶν διαιρέσεων βαρυτάτη μέν ἐστιν ἡ τοῦ μαλακοῦ χρώματος χρόα· μελῳδεῖται δὲ κατὰ δίεσιν τριτημόριον τόνου καὶ δίεσιν τὴν ἴσην καὶ τὸ ἴσον τόνῳ καὶ τῷ ἡμίσει καὶ τρίτῳ· τὸ δὲ ἡμιόλιον κατὰ δίεσιν ἡμιόλιον τῆς ἐναρμονίου διέσεως καὶ δίεσιν τὴν ἴσην καὶ ἑπτὰ τεταρτημορίων διέσεων ἀσύνθετον διάστημα. τὸ δὲ τονιαῖον χρῶμα τῇ αὐτῇ τοῦ γένους χρόᾳ κέχρηται· μελῳδεῖται γὰρ κατὰ ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ τριημιτόνιον. κέκληται δὲ τὰ εἰρημένα χρώματα ἀπὸ τῶν ἐνυπαρχόντων αὐτοῖς πυκνῶν· τό τε γὰρ τονιαῖον ἀπὸ τοῦ ἐνυπάρχοντος αὐτῷ κατὰ σύνθεσιν τόνου, καὶ ἡμιόλιον ἀπὸ τῶν ἐνυπαρχουσῶν αὐτῷ διέσεων, ἡμιολίων τῶν ἐναρμονίων διέσεων, μαλακὸν δὲ τὸ τοῦ ἐλαχίστου πυκνοῦ ὡσαύτως χρῶμα, ἐπειδὴ τὸ ἐν αὐτῷ πυκνὸν ἀνίεταί τε καὶ ἐκλύεται.

τῶν δὲ διατονικῶν διαιρέσεων τὸ μὲν διάτονον μαλακὸν καλεῖται, τὸ δὲ σύντονον. ἡ μὲν οὖν τοῦ μαλακοῦ διατόνου χρόα μελῳδεῖται κατὰ ἡμιτόνιον καὶ τριῶν διέσεων ἀσύνθετον διάστημα καὶ πέντε διέσεων ὁμοίως ἀσύνθετον διάστημα. ἡ δὲ τοῦ συντόνου διατόνου τῇ αὐτῇ τοῦ γένους ἐπικοινωνεῖ διαιρέσει· μελῳδεῖται γὰρ καθ' ἡμιτόνιον καὶ τόνον καὶ τόνον.

---

1. αὐτοῦ] M¹, αὐτῇ M³W· διαιρέσει] NB; add. τῇ αὐτῇ M¹, καὶ αὐτή M⁴; διαθέσει W. 2. Post δίεσιν (pr.) add. τὸ τεταρτημόριον τόνου M⁴. καὶ δίεσιν] M², om. M¹. 3. τὴνἴσην] om. W, item lin. 8. 5. κατά] κατὰ τήν M. 6. τὸ τριτημόριον W. ἴσην —7. τρίτῳ] ἡμίσειαν ἡμιτονίου τόνου τριημιτόνιον καὶ τὸ διὰ πέντε καὶ τὴν ἴσην τόνῳ καὶ τὴν τετάρτην W. Post τρίτῳ add. ἀσύνθετον διάστημα M⁴. κατὰ δίεσιν] M⁴W, om. M¹. 9. ἡμιόλιον τῆς ἐναρμονίου διέσεως] M⁴, om. M¹W. 9. καί] M⁴, om. M¹W. τεταρτημορίων διέσεων] NB, διέσεων M¹, δ. τεταρτημορίων M⁴ μὲν ἡμιτονίων W. ἀσύνθετον] σύνθετόν ἐστι W. Post διάστημα in M litura fere 36 litterarum, τρὶς καὶ ἑπτὰ καὶ εἴκοσι καὶ ἕν add. W. 10. κέχρηται χρόᾳ W. 12. κέ-

atque harmoniae quidem color ipsius generis divisione utitur; canitur enim per diesin et aequalem diesin et ditonum.

divisionum vero chromaticarum gravissima est color chromatis mollis; canitur autem per eam diesin, quae est toni pars tertia, et diesin aequalem et intervallum, quod est aequale tono et dimidio et tertiae eius parti; sesquealterum vero chroma canitur per diesin sesquealteram diesis enarmoniae et diesin aequalem et intervallum incompositum septem diesium, quarum unaquaeque est quarta pars toni. toniaeum autem chroma eodem quo genus colore utitur; canitur enim per semitonium et semitonium et triemitonium. nomina autem habent chromata, quae diximus, ex spissis, quae in iis insunt; nam et toniaeum ex tono, qui in eo inest secundum compositionem, et sesquealterum ex diesibus, quae in eo insunt et quae sesquealterae sunt diesium enarmoniarum, molle vero minimi spissi eodem modo chroma, quoniam spissum, quod in eo inest, et remittitur et enervatur.

diatonicarum autem divisionum altera diatonum molle vocatur, altera syntonum. ac mollis diatoni color canitur per semitonium et trium diesium incompositum intervallum et quinque diesium intervallum eodem modo incompositum. syntoni vero diatoni color eándem cum genere communem habet divisionem; canitur enim per semitonium et tonum et tonum.

κληνται W. 14. *αὐτῷ* —16 *ἐλαχίστου*] om. W. 14. *αὐτῷ κατὰ σύνθεσιν τόνου*] NB, *αὐτῷ τόνου* eras. M^1, rep. M^4 mg. et supra scr. *κατὰ συνθέσεως*. 15. *ἐννπαρχουσῶν*] *ἐννπαρχόντων* M^4. 17. Post *πυκνοῦ* add. *ἡμιόλιον δέ ἐστι ἐλάχιστον πυκνόν* W. *χρῶμα*] *καὶ χρῶμα* W Post *πυκνόν* add. *χρῶμα* codd. 18. *ἐκλύεται*] N, *ἐκ* M^1, *λύεται* add. M^3, *διατήκεται* W. 19. *τῶν δέ*] M^2, *καὶ ἐκ τῶν* W. *μαλακόν*] *καὶ μαλακόν* W. 22. *διέσεων* (pr.)] *διαιρέσεων* W. *καί*] *καὶ κατά* W. 25. *καθ'*] *θ* in litura M^4. *καὶ τόνον* (alt.)] M^3W, om. M^1.

δείκνυνται δὲ καὶ δι' ἀριθμῶν αἱ χρόαι τὸν τρόπον τοῦτον. ὑποτίθεται γὰρ ὁ τόνος εἰς δώδεκά τινα ἐλάχιστα μόρια διαιρούμενος, ὧν ἕκαστον δωδεκατημόριον τόνου καλεῖται· ἀναλόγως δὲ τῷ τόνῳ καὶ τὰ λοιπὰ διαστήματα· τὸ μὲν γὰρ ἡμιτόνιον εἰς ἓξ δωδεκατημόρια, ἡ δὲ δίεσις ἡ μὲν τεταρτημόριος εἰς τρία, ἡ δὲ τριτημόριος εἰς τέσσαρα, ὅλον δὲ τὸ διὰ τεσσάρων εἰς τριάκοντα. ἡ μὲν οὖν ἁρμονία μελῳδηθήσεται κατὰ τριῶν δωδεκατημορίων μέγεθος καὶ γ καὶ κδ, τὸ δὲ μαλακὸν χρῶμα κατὰ δ καὶ δ καὶ κβ, τὸ δὲ ἡμιόλιον χρῶμα κατὰ τέτταρα ἥμισυ καὶ δ(″ καὶ κα, τὸ δὲ τονιαῖον χρῶμα κατὰ ς καὶ ς καὶ ιη, τὸ δὲ μαλακὸν διάτονον κατὰ ς καὶ θ καὶ ιε, τὸ δὲ σύντονον κατὰ ς καὶ ιβ καὶ ιβ.

8. Τῶν δὲ συστημάτων διαφοραί εἰσιν ἑπτά. τέσσαρες μὲν αἱ αὐταὶ τοῖς διαστήμασιν, ἥ τε κατὰ μέγεθος καὶ ἡ κατὰ γένος καὶ ἡ τοῦ συμφώνου καὶ διαφώνου καὶ ἡ τοῦ ῥητοῦ καὶ ἀλόγου· τρεῖς δὲ ἴδιαι τῶν συστημάτων διαφοραί εἰσιν, ἡ τοῦ ἑξῆς καὶ ὑπερβατοῦ καὶ ἡ τοῦ συνημμένου καὶ διεζευγμένου καὶ ἡ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου. μεγέθει μὲν οὖν διαφέρει τὰ μείζω συστήματα τῶν ἐλαττόνων καθάπερ τὸ διὰ πασῶν τοῦ τριτόνου ἢ διαπέντε ἢ διὰ τεσσάρων ἢ τῶν ὁμοίων. γένει δὲ τὰ διατονικὰ τῶν ἐναρμονίων ἢ χρωματικῶν, ἢ τὰ χρωματικὰ ἢ ἐναρμόνια τῶν λοιπῶν. τῇ δὲ τοῦ συμφώνου καὶ διαφώνου διοίσει τὰ ὑπὸ τῶν συμφώνων φθόγγων περιεχόμενα τῶν ὑπὸ διαφώνων. σύμφωνα δέ ἐστιν ἐν τῷ ἀμεταβόλῳ συστήματι ἕξ· ἐλάχιστον μὲν τὸ διὰ τεσσάρων, τόνων δύο ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτην μέσων· δεύτερον δὲ τὸ διὰ πέντε, τόνων τριῶν ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμ-

1. καί] om. W. δι' ἀριθμῶν] **B**, ἀριθμῶ// M, ἀριθμῷ W. 4. τόνου] τόνου τόνος W. 6. τρία] τέσσαρα W. 7. τέσσαρα] τρία W. 16. καὶ διαφώνου] Marc. 322 Lips. 25 Mon. 104, om. cett. 20. συστήματα] συστημάτων W. 22. γένει] γένη M[1]. 23. Ante τῶν add. διαφορᾷ W. ἤ (pr.)] καὶ W. τά (alt.) —

designantur autem per numeros quoque colores hoc modo. nam supponitur tonus in duodecim quasdam partes minimas divisus, quarum unaquaeque duodecima pars toni vocatur. eodem modo ac tonus cetera quoque intervalla dividuntur; semitonium enim in sex partes duodecimas, diesis quadrantalis in tres, trientalis in quattuor, totum diatessaron in triginta. atque harmonia canetur per magnitudinem trium partium duodecimarum et trium et viginti quattuor, molle autem chroma per quattuor et quattuor et viginti duarum, sesquealterum chroma per quattuor semis et quattuor semis et viginti unius, toniaeum chroma per sex et sex et duodeviginti, molle diatonum per sex et novem et quindecim, syntonum per sex et duodecim et duodecim.

8. Systematum differentiae sunt septem. quattuor eaedem atque in intervallis, differentia et secundum magnitudinem et secundum genus et consoni atque dissoni et rationalis atque irrationalis; tres autem propriae systematum differentiae sunt, differentia ordinati et praeposteri, coniuncti et disiuncti, immutabilis et mutabilis. ac magnitudine differunt maiora systemata a minoribus, velut diapason a tritono vel a diapente vel a diatessaron vel a similibus. genere autem differunt diatonica ab enarmoniis vel chromaticis, aut chromatica vel enarmonia a reliquis. consoni vero et dissoni differentia different ea, quae consonis sonis continentur, ab iis, quae dissonis. consona autem sunt in immutabili systemate sex; minimum est diatessaron, tonorum duorum semis, quale est consonum ab hypate hypaton ad hypaten meson; secundum diapente, tonorum trium semis, quale est a proslambonemo ad hypaten meson; tertium

24. *λοιπῶν*] *τὸ χρῶμα καὶ τὸ ἐναρμόνιον τοῦ διτόνου* W. 25. *διοίσει*] *διαφορᾷ* W. 26. *τῶν ὑπὸ διαφώνων*] *ὁμοίως διοίσει* W. 28. *ἡμίσεος*] *καὶ ἡμίσεως* W, item lin. 30.

βανομένου ἐπὶ ὑπάτην μέσων· τρίτον δὲ τὸ διὰ πασῶν, τόνων ἕξ, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην· τέταρτον δὲ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων, τόνων ὀκτὼ καὶ ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων ἢ παρανήτην διεζευγμένων διάτονον· πέμπτον τὸ διὰ πασῶν καὶ διὰ πέντε, τόνων ἐννέα ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην διεζευγμένων· ἕκτον τὸ δὶς διὰ πασῶν, τόνων δώδεκα, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερβολαίων. [τὸ δὲ συνημμένον σύστημα πρόεισι μέχρι τετάρτου συμφώνου· πρῶτον γὰρ ἐν αὐτῷ τὸ διὰ τεσσάρων, δεύτερον τὸ διὰ πέντε, τρίτον τὸ διὰ πασῶν, τέταρτον τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων.] ὁ δὲ τῆς φωνῆς τόπος αὔξεται μέχρι τοῦ ὀγδόου συμφώνου, ὅπερ ἐστὶ δὶς διὰ πασῶν καὶ διὰ τεσσάρων καὶ δὶς διὰ πασῶν καὶ διὰ πέντε. διάφωνα δέ ἐστι τά τε ἐλάττω τῶν διὰ τεσσάρων καὶ μεταξὺ τῶν εἰρημένων συμφώνων πάντα.

9. Γίνεται δὲ καὶ σχήματα τοῦ αὐτοῦ μεγέθους ἐκ τῶν αὐτῶν ἀσυνθέτων συγκείμενα καὶ ἀριθμοῦ, εἰ ἡ τάξις αὐτῶν ἀλλοίωσιν λάβοι ἐνυπάρχοντός τινος ἀνομοίου· τὰ γὰρ ἐξ ἴσων πάντων ἢ ὁμοίων σχημάτων ἀλλοίωσιν οὐ ποιεῖ. τοῦ μὲν οὖν διὰ τεσσάρων τρία ἐστὶν εἴδη. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτην μέσων· δεύτερον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οἷόν ἐστι

1. ὑπάτην] M⁴, ὑπάτης M, ὑπάτη W. 2. τόνων —3. διὰ πασῶν] om. W. 4. καὶ ἡμίσεος] ἡμίσους W. 5. συνημμένων] μέσων W. 6. διάτονον — 8. διεζευγμένων] om. W. 10. τό — 11. μέχρι] M³, om. M¹W. πρῶτον] M³W, πρώτων M¹. γὰρ ἐν αὐτῷ] NB, γραφῶν M¹, γὰρ αὐτῶν M⁴, γράφε W. 12. δεύτερον] M³W, δευτέρων M¹, item τρίτων. 13. τέταρτον τὸ διὰ πασῶν] M³W, om. M¹. διά (alt.)] om. W. Post διὰ τεσσάρων M⁴ facit signum rei omissae λν; add. πέμπτον τὸ διὰ πασῶν καὶ διὰ πέντε, ἕκτον τὸ δὶς διὰ πασῶν W. 14. αὔξεται] αὔξει W. 15. δὶς (utrumque) M³, om. M¹W. 16. τε] om. W.

diapason, tonorum sex, quale est a proslambomeno ad mesen, quartum diapason et diatessaron, tonorum octo semis, quale est a proslambomeno ad neten synemmenon sive ad paraneten diezeugmenon diatonon; quintum diapason et diapente, tonorum novem semis, quale est a proslambomeno ad neten diezeugmenon; sextum disdiapason, tonorum duodecim, quale est a proslambomeno ad neten hyperbolaeon. [synemmenon autem systema progreditur usque ad quartum syntonum; primum enim in eo est diatessaron, secundum diapente, tertium diapason, quartum diapason et diatessaron.][1] vocis autem ambitus augetur usque ad octavum consonum, quod est diapason et diatessaron atque disdiapason et diapente.[2] dissona vero sunt et ea, quae sunt minora quam diatessaron, et ea, quae sunt inter consona, quae diximus, omnia.

9. Existunt autem etiam formae eiusdem magnitudinis, quae ex iisdem incompositis et eodem numero[3] sunt compositae, si eorum ordo mutationem subeat, cum dissimile aliquid insit; ea enim, quae ex aequalibus omnibus sive similibus formis constant, mutationem non faciunt. et diatessaron quidem consonantiae species sunt tres. prima est, quae barypycnis comprehenditur, qualis est ab hypate hypaton usque ad hypaten meson; se-

1) Lin. 10 *τό* — 13 *διὰ τεσσάρων* Ian putat interpolatoris esse. v. Mus. Gr. p. 177.

2) Lin. 15 verba *δὶς διὰ πασῶν καὶ διὰ τεσσάρων καί* supervacanea esse iudicat Bellermann ad Anon. p. 73, admodum suspecta sunt Wilsono l. c. p. 150 sq.

3) Genetivo *ἀριθμοῦ* lin. 20. suo iure offenditur Wilson l. c. p. 387; secundum Aristoxenum p. 74, 15 Meibom (p. 108, 16 Marquard) legi vult *συγκειμένου μεγέθει καὶ ἀριθμῷ*.

17. *τὰ μεταξύ* W. 20. *συγκείμενα*] M^4, *συγκειμένων* M^1. *εἰ*] om. M^1, in ras. W. 21. *τάξις* M^1. 24. *ἐστίν*] in ras. W. *εἴδη*] *εἰ* — in ras. W. *ὑπό*] *ἀπό* M^1W. 25. *ὑπάτην μέσων*] M^3, *ὑπά. των* W.

τὸ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ παρυπάτην μέσων· τρίτον δὲ τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ λιχανοῦ ὑπάτων ἐπὶ λιχανὸν μέσων. ἐν μὲν οὖν ἁρμονίᾳ καὶ χρώματι πρὸς τὴν τοῦ πυκνοῦ σχέσιν τὰ σχήματα τῶν συμφώνων λαμβάνεται, ἐν δὲ διατόνῳ ἐπὶ πυκνοῦ οὐ γίνεται· διαιρεῖται δὲ τὸ γένος τοῦτο εἰς ἡμιτόνια καὶ τόνους. ὑπάρχει δὲ ἐν τῇ διὰ τεσσάρων συμφωνίᾳ ἡμιτόνιον μὲν ἓν, τόνοι δὲ δύο· ὁμοίως δὲ κἀν τῷ διὰ πέντε ἡμιτόνιον μὲν ἓν, τόνοι δὲ τρεῖς· ἐν δὲ τῷ διὰ πασῶν ἡμιτόνια μὲν δύο, τόνοι δὲ πέντε· πρὸς δὲ τὴν τῶν ἡμιτονίων σχέσιν τὰ σχήματα θεωρεῖται. τοῦ οὖν διὰ τεσσάρων πρῶτον μέν ἐστιν εἶδος, οὗ τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ τῶν τόνων κεῖται, δεύτερον δέ, οὗ πρῶτον ἐπὶ τὸ ὀξύ, τρίτον, οὗ μέσον τῶν τόνων. ἔστι δὲ καὶ ταῦτα ὁμοίως τοῖς λοιποῖς γένεσιν ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς.

τοῦ δὲ διὰ πέντε τέσσαρά ἐστι σχήματα. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ παραμέσην. δεύτερον δὲ τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστιν ἀπὸ παρυπάτης μέσων ἐπὶ τριτὴν διεζευγμένων. τρίτον δὲ τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην διεζευγμένων. τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην διεζευγμένων ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην μέσων. ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστι σχῆμα, οὗ πρῶτον

---

1. παρυπάτην] M³, ὑπάτων M¹W. 3. μέσων] W, μέσον M¹. 6. δέ] an γάρ? Jan. 8. τόνοι] W, τονιαῖα M. 11. πρὸς δὲ τήν] προσδέοι M¹. 14. πρῶτον ἐπὶ τὸ ὀξύ] M¹W, μέσον τῶν τόνων M⁴. μέσον] **B**, μέσων M¹W, πρῶτον ἐπὶ τὸ ὀξὺ τῶν τόνων M⁴. 15. ἔστι] ἔχει M⁴. Ante γένεσιν add. τήν M⁴ mg. 17. τοῦ] τοῦτο M¹. 21. ἔστιν] M¹, ἔστι δέ cett. 25. τέταρτον δέ M⁴. πρῶτος] Jan, τέταρτος codd. 26. ἐ. τ. βαρύ] **NB**, om.

cunda ea, quae mesopycnis comprehenditur, qualis est a parhypate hypaton ad parhypaten meson; tertia autem, quae oxypycnis comprehenditur, qualis est a lichano hypaton ad lichanum meson. atque in harmonia et chromate ad rationem spissi consonorum species sumuntur, in diatono vero spissum non est; dividitur autem hoc genus in semitonia et tonos. est autem in diatessaron consonantia semitonium unum, toni duo. eadem ratione etiam in diapente semitonium unum, soni tres; in diapason semitonia duo, toni quinque; ad semitoniorum autem rationem formae considerantur. diatessaron igitur consonantiae prima est species, cuius semitonium ad grave tonorum iacet; secunda, cuius primum ad acutum, tertia, cuius tonorum est medium.[1]) sunt autem hae quoque similiter reliquis generibus ab iisdem sonis ad eosdem.

diapente consonantiae quattuor sunt formae. prima est, quae barypycnis comprehenditur, cuius tonus primus iacet ad acutum; est autem a parhypate meson ad paramesen. secunda est, quae mesopycnis comprehenditur et cuius tonus secundus ad acutum; est autem a parhypate meson ad triten diezeugmenon. tertia est, quae oxypycnis comprehenditur et cuius tonus tertius ad acutum; est autem a lichano meson ad paraneten diezeugmenon. quarta est, quae barypycnis comprehenditur et cuius tonus primus ad grave; est autem a mese ad neten diezeugmenon sive a proslambanomeno ad hypaten meson. in diatono vero prima est forma,

1) Lin. 12 *τοῦ* — 14 *τόνων*. hunc locum apud Meibom confusum primus e coniectura sanavit Boeckh, de metris Pindari p. 211.

M¹W, *ἐ. τ. ὀξύ* M⁴. 27. *προσλαμβανομένου*] — *ων* MW. 28. *οὗ πρῶτον* — p. 210 lin. 2. *δεύτερον ἐπὶ τὸ ὀξύ*] om. M¹. *οὗ πρῶτον*] mg. add. m. 1 W.

τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ κεῖται, δεύτερον δέ, οὗ πρῶτον ἐπὶ τὸ ὀξύ, τρίτον, οὗ δεύτερον ἐπὶ τὸ ὀξύ, τέταρτον, οὗ πρῶτον ἐπὶ τὸ βαρύ.

τοῦ δὲ διὰ πασῶν εἴδη ἐστὶν ἑπτά. πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ παραμέσην, ἐκαλεῖτο δὲ ὑπὸ τῶν ἀρχαίων μιξολύδιον.

δεύτερον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ παρυπάτης ὑπάτων ἐπὶ τρίτην διεζευγμένων, ἐκαλεῖτο δὲ λύδιον.

τρίτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ ὑπάτων ἐπὶ παρανήτην διεζευγμένων, ἐκαλεῖτο δὲ φρύγιον.

τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ νήτην διεζευγμένων, ἐκαλεῖτο δὲ δώριον.

πέμπτον τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ πέμπτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην ὑπερβολαίων, ἐκαλεῖτο δὲ ὑπολύδιον.

ἕκτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ ἕκτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην ὑπερβολαίων, ἐκαλεῖτο δὲ ὑποφρύγιον.

ἕβδομον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην ὑπερβολαίων ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην, ἐκαλεῖτο δὲ κοινὸν καὶ λοκριστὶ καὶ ὑποδώριον.

ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστιν εἶδος τὸ διὰ πασῶν, οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρύ, τέταρτον δὲ ἐπὶ τὸ ὀξύ ἐστι τὸ ἡμιτόνιον· δεύτερον δέ, οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ· τρίτον δέ, οὗ δεύτερον

---

1. κεῖται] WB, om. cett. 3. πρῶτον] τρίτον codd., cf. p. 208 lin. 25. 6. ἔστι δέ] ἥ W. 21. ἐπί (alt.)] M⁴, ἥ M¹W. 26. λοκριστί] W, λοκροστί M¹, λοκρικόν M³. καί (alt.)] om. W. 27. διατόνῳ] τῷ δ. M³. εἶδός ἐστι W. 28. οὗ] οὑ M. μὲν

cuius semitonium primum ad grave iacet, secunda, cuius primum ad acutum, tertia, cuius secundum ad acutum, quarta, cuius primum ad grave.

diapason consonantiae species sunt septem. ac prima est, quae barypycnis comprehenditur et cuius tonus primus est ad acutum; est autem ab hypate hypaton ad paramesen; appellabatur vero a veteribus mixolydia.

secunda est, quae mesopycnis comprehenditur et cuius tonus secundus ad acutum; est autem a parhypate hypaton ad triten diezeugmenon; appellabatur vero lydia.

tertia est, quae oxypycnis comprehenditur et cuius tonus tertius ad acutum; est autem a lichano hypaton ad paraneten diezeugmenon; appellabatur vero phrygia.

quarta est, quae barypycnis comprehenditur et cuius tonus quartus ad acutum; est ab hypate meson ad neten diezeugmenon; appellabatur vero doria.

quinta est, quae mesopycnis comprehenditur et cuius tonus quintus ad acutum; est a parhypate meson ad triten hyperbolaeon; appellabatur vero hypolydia.

sexta est, quae oxypycnis comprehenditur et cuius tonus sextus ad acutum; est autem a lichano meson ad paraneten hyperbolaeon; appellabatur vero hypophrygia.

septima est, quae barypycnis comprehenditur et cuius tonus primus ad grave; est autem a mese ad neten hyperbolaeon sive a proslambomeno ad mesen; appellabatur vero communis et locrensis et hypodoria.[1])

in diatono prima species id est diapason, cuius semitonium primum est ad grave, quartum ad acutum; secunda, cuius semitonium tertium ad grave, primum ad

1) Ea, quae sequuntur de genere diatono, Jan interpolatori tribuit; v. Mus. Gr. p. 177.

ἐπὶ τὸ βαρύ] M^3, *τε καί* M^{1}W. *δὲ ἐπὶ τὸ ὀξύ ἐστι*] *ἐπί* M^{1}W. 29. *τρίτον μὲν ἐπὶ τὸ βαρύ*] om. M^{1}W. 30. *δέ* (pr.)] om. M^{1}W.

ἐφ' ἑκάτερα· τέταρτον δὲ οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρύ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ· πέμπτον δέ, οὗ τέταρτον μὲν ἐπὶ τὸ βαρύ, πρῶτον δὲ ἐπὶ τὸ ὀξύ· ἕκτον δέ, οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, δεύτερον δὲ ἐπὶ τὸ ὀξύ· ἕβδομον δέ, οὗ δεύτερον μὲν ἐπὶ τὸ βαρύ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ. ἔστι δὲ καὶ ταῦτα ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς, καθάπερ ἐπὶ τῆς ἁρμονίας καὶ τοῦ χρώματος, καὶ ἐκαλεῖτο τοῖς αὐτοῖς ὀνόμασι.

10. Τῇ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορᾷ διοίσει συστήματα, ὅσα ἐκ ῥητῶν διαστημάτων σύγκειται, τῶν ἐξ ἀλόγων. ὅσα μὲν γὰρ ἐκ ῥητῶν ῥητά ἐστιν, ὅσα δὲ ἐξ ἀλόγων ἄλογα.

τῇ δὲ τοῦ ἑξῆς καὶ ὑπερβατοῦ διαφορᾷ διοίσει συστήματα τὰ διὰ τῶν ἑξῆς φθόγγων μελῳδούμενα τῶν καθ' ὑπερβατόν.

τῇ δὲ τοῦ συνημμένου καὶ διεζευγμένου διαφορᾷ διοίσει συστήματα, ὅσα διὰ τῶν συνημμένων τετραχόρδων τὴν σύνθεσιν ἔχει τῶν διὰ τῶν διεζευγμένων. ἔστι δὲ συναφὴ μὲν δύο τετραχόρδων ἑξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, φθόγγος κοινός. διάζευξις δέ ἐστι δύο τετραχόρδων ἑξῆς μελῳδουμένων, ὁμοίων κατὰ σχῆμα, τόνος ἀνὰ μέσον. εἰσὶ δὲ αἱ πᾶσαι συναφαὶ τρεῖς· μέση, ὀξυτάτη, βαρυτάτη. καὶ ἔστι βαρυτάτη μὲν ἡ [ἐκ] τοῦ ὑπάτων καὶ μέσων τετραχόρδου· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος ὑπάτη μέσων. μέση δέ ἐστι συναφὴ ἡ τοῦ μέσων καὶ νητῶν συνημμένων· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος μέση. ὀξυτάτη δέ ἐστι συναφὴ

---

2. τρίτον] τέταρτον W. τέταρτον μέν] πρῶτον M¹W. 3. πρῶτον δέ] τέταρτον M¹, δεύτερον W. οὗ τρίτον μὲν ἐπὶ τὸ βαρύ, δεύτερον δέ] in lit. M⁴. τρίτον] πρότερον W. 5. δεύτερον] πρότερον W. βαρύ] ὀξύ M¹W. τρίτον] πέμπτον M⁴, δεύτερον W. ὀξύ] βαρύ W. 6. καί] om. W, item lin. 7 (alt.) 10. τῶν] η (sic) W. 11. γάρ] om. W. ῥητὰ ἐκ ῥητῶν codd. 13. διοίσει] δύοις εἰς (sic) W, item lin. 17. 14. τά] ins. M¹, om. W. τῶν (alt.)] Jan., τῇ codd. 17. Ante συστήματα add. ὁμοίως W. ὅσα] ἅ W. τῶν] τῶν διέσεων M¹W.

acutum; tertia, cuius semitonium secundum in utramque partem; quarta, cuius semitonium primum ad grave, tertium ad acutum; quinta, cuius semitonium quartum ad grave, primum ad acutum; sexta, cuius semitonium tertium ad grave, primum ad acutum; septima, cuius semitonium secundum ad grave, tertium ad acutum. sunt autem etiam hae species ab iisdem sonis ad eosdem ut in harmonia et chromate appellanturque iisdem nominibus.

10. Rationalis autem et irrationalis differentia differunt systemata, quotquot sunt ex intervallis rationalibus composita, ab iis, quae ex irrationalibus; nam quotquot ex rationalibus sunt composita, rationalia sunt; quotquot ex irrationalibus, irrationalia.

continui et praeposteri differentia differunt ea systemata, quae per sonos deinceps positos canuntur, ab iis, quae secundum praeposterum.

coniuncti autem et disiuncti differentia differunt systemata, quotquot per coniuncta tetrachorda compositionem habent, ab iis, quae per disiuncta. coniunctio est duorum tetrachordorum, quae deinceps canuntur et similia sunt specie, sonus communis. disiunctio vero est duorum tetrachordorum, quae deinceps canuntur et similia sunt specie, tonus medius. sunt autem coniunctiones universae tres: media, acutissima, gravissima. atque gravissima est coniunctio tetrachordi [1]) hypaton et meson; communis ei contiguus est sonus hypate meson. media est coniunctio intervalli meson et neton synemmenon; communis ei contiguus est sonus

1) Lin. 24, 26 et p. 214, 1 Wilson l. c. p. 390 praefert *ἡ ἑκ*; ante *μέσων* addit *τοῦ*.

τῶν τετραχόρδων W. 18. *διὰ τῶν*] om. MW. 22. *μέσων* W. 24. *ἑκ*] del. Jan. 25. *αὐτῇ*] M[1]W, *αὐτά* M[3], item lin. 27 et p. 214 lin. 2. *ὑπάτη* — 27. *φθόγγος*] om. W. 26. *ἡ*] Jan, *ἑκ* (vel *η*) codd., cf. lin. 24 et p. 214 lin. 1, 3. *νητῶν*] NB, erasum in M. *συνημμένων*] *-νη* M[1].

ἡ τοῦ διεζευγμένων καὶ τοῦ ὑπερβολαίων· κοινὸς δὲ αὐτῇ συνάπτει φθόγγος νήτη διεζευγμένων. διάζευξις δέ ἐστι μία ἡ τοῦ μέσων καὶ νητῶν διεζευγμένων· κοινὸς δὲ αὐτὰ διαζεύγνυσι τόνος ὁ μεταξὺ μέσης καὶ παραμέσης.

τέλεια δέ ἐστι συστήματα δύο, ὧν τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον. καὶ ἔστι τὸ μὲν ἔλαττον κατὰ συναφὴν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα τρία συνημμένα τάδε· ὑπάτων μέσων συνημμένων, καὶ τόνος ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπάτων· συμφώνῳ δὲ ὁρίζεται τῷ διὰ πασῶν καὶ διὰ τεσσάρων.

τὸ δὲ μεῖζόν ἐστι κατὰ διάζευξιν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερβολαίων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα μὲν τέσσαρα διὰ δυοῖν διεζευγμένα, ἀλλήλοις δὲ συνημμένα, τό τε ὑπάτων καὶ μέσων, καὶ διεζευγμένων καὶ ὑπερβολαίων, καὶ ἔτι τόνοι δύο, ὅ τε ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπάτων καὶ ὁ ἀπὸ παραμέσης ἐπὶ μέσην. συμφώνῳ δὲ διορίζεται τῷ δὶς διὰ πασῶν.

πέντε δὲ ὄντων τετραχόρδων ἐν τῷ ἀμεταβόλῳ συστήματι, ὅπερ ἐστὶν ἐξ ἀμφοῖν τελείοιν σύνθετον, τὰ μὲν δύο κοινά ἐστιν ἑκατέρῳ τῶν τελείων, τό τε ὑπάτων καὶ μέσων· ἴδια δὲ τοῦ μὲν κατὰ συναφὴν τὸ νητῶν συνημμένων, τοῦ δὲ κατὰ διάζευξιν τὸ νητῶν διεζευγμένων καὶ νητῶν ὑπερβολαίων.

11. Τῇ δὲ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου διοίσει, καθ' ἣν διαφέρει τὰ ἁπλᾶ συστήματα τῶν μὴ ἁπλῶν. ἁπλᾶ μὲν οὖν ἐστι τὰ πρὸς μίαν μέσην ἡρμοσμένα, διπλᾶ δὲ τὰ πρὸς δύο, τριπλᾶ δὲ τὰ πρὸς τρεῖς, πολλα-

---

1. ἡ] N², ἡ ἐκ **B**, ἐκ N¹. 3. ἡ] ἡ ἐκ **NB**, ἐκ MW. νητῶν] νη- in lit. M⁴. 4. αὐτά] αὐτήν W. τόνος] τόπος W. 8. ἀπὸ] om. W, πο M⁴ supra. νήτην] M⁴, νήτη M¹. 12. συμφώνῳ] -ον W. τῷ] τό W, item lin. 19. 16. τε] om. W. 19. συμ-

mese. acutissima est coniunctio tetrachordi diezeugmenon et hyperbolaeon; communis ei contiguus est sonus nete diezeugmenon. disiunctio vero est una, disiunctio tetrachordi meson et neton diezeugmenon; communis ea disiungit tonus, qui est inter mesen et paramesen.

perfecta systemata sunt duo, quorum unum minus, alterum maius. ac minus est secundum coniunctionem a proslambanomeno ad neten synemmenon. in eo autem haec insunt tetrachorda tria coniuncta: hypaton meson synemmenon, et tonus a proslambanomeno ad hypaten hypaton; terminatur autem intervallo consono diapason et diatessaron.

maius vero est secundum disiunctionem a proslambanomeno ad neten hyperbolaeon. insunt in eo quattuor tetrachorda, quorum bina sunt a binis disiuncta, inter se vero coniuncta, hypaton et meson, diezeugmenon et hyperbolaeon, et praeterea duo toni, alter a proslambanomeno ad hypaten hypaton, alter a paramese ad mesen. terminatur autem intervallo consono disdiapason.

cum quinque sint tetrachorda in systemate immutabili, quod est ex ambobus perfectis compositum, duo communia sunt utrique perfecto, hypaton et meson; propria autem systematis secundum coniunctionem neton synemmenon, systematis vero secundum disiunctionem neton diezeugmenon et neton hyperbolaeon.

11. Differentia immutabilis et mutabilis different systemata, qua simplicia a non simplicibus. ac simplicia sunt, quae ad unam mesen harmonice sunt composita, duplicia, quae ad duas mesas, triplicia, quae ad

---

φώνω] e corr. M, *συμφώνων* M¹. *διορίζεται*] M¹W, *ὁρίζεται* M⁴. 21. *ἐμμεταβόλῳ* M⁴. 22. *τελείοιν*] *δύο τελείων* W. 23. *ἑκατέρῳ*] N, *ἑκατέρων* MW. 24. *μέσων*] add. *καὶ διεζευγμένων* W. *τό*] M³, *τῶν* M¹W. 25. *τό*] *τῶν* M¹. 30. *τρι(πλᾶ)* M⁴ in lit.

πλάσια δὲ τὰ πρὸς πλείονας. ἔστι δὲ μέση φθόγγου δύναμις, ᾧ συμβέβηκε κατὰ μὲν διάζευξιν ἐπὶ μὲν τὸ ὀξὺ τόνον ἔχειν ἀσύνθετον ἁπαθῆ ὄντα τοῦ συστήματος, ἐπὶ δὲ τὸ βαρὺ δίτονον ἢ ⟨τριημιτόνιον ἢ τόνον⟩ ἀσύνθετον· κατὰ δὲ συναφήν, ᾧ συμβαίνει τριῶν τετραχόρδων συνημμένων ἤτοι τοῦ μέσου ὀξυτάτῳ εἶναι, ἤτοι τοῦ ὀξυτάτου βαρυτάτῳ. ἀπὸ δὲ τῆς μέσης καὶ τῶν λοιπῶν φθόγγων αἱ δυνάμεις γνωρίζονται· τὸ γὰρ πῶς ἔχειν ἕκαστον αὐτῶν πρὸς τὴν μέσην φανερῶς γίνεται.

12. Τόνος δὲ λέγεται τετραχῶς· καὶ γὰρ ὡς φθόγγος καὶ ὡς διάστημα καὶ ὡς τόπος φωνῆς καὶ ὡς τάσις. ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν·

ἡμεῖς τοι τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν
ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους.

ὁ δὲ·

ἐνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχοισα
ει συμφωνούσας ἁρμονίας τριόδους·
πρὶν μέν σ' ἑπτάτονον ψάλλον δὶς τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι κέχρηνται τῷ ὀνόματι· ἐπὶ δὲ τοῦ διαστήματος, ὅταν λέγωμεν ἀπὸ μέσης ἐπὶ παραμέσην τόνον εἶναι.

ὁ δὲ ὡς τόπος φωνῆς, ὅταν λέγωμεν δώριον ἢ

---

3. ἔχειν] ἔχει M¹W. ἁπαθῆ — 4. δίτονον] om. M. ἁπαθῆ ὄντα] Jan, ἁπαθοῦς ὄντος W. τοῦ συστήματος] τῆς τῶν γενῶν διαφορᾶς malit Jan. 4. ἤ (pr.)] ἤτοι σύνθετον ἤ W. τριημιτόνιον ἢ τόνον] add. Jan. ἢ ἀσύνθετον] orbe inclusit M⁴. 8. αἱ] om. M¹W, add. M⁴. δυνάμεις] δυνάμις M¹ (corr. M⁴), δυνάμει W. 10. ὡς] W, om. cett. 16. κελαδήσωμεν M. 18. ἑνδεκάχορδε] primus Bergk (Poetae lyr. p. 579³,⁵, vol. II p. 253⁴), ἐν δεκάχορδε M, ἑνδεκαχόρδῳ W. Ante δεκαβάμονα hab. τήν codd., primus delevit G. Hermann 18. 19. ἔχοισα ει] ἔχοις ἀεί τάς MW (ἔχεις W) Pena, ἔχουσα τάς Meibom Bergk Hiller-Crusius (Anth. lyr. 1904 p. 126), ἔχοισα εἰς Wilamowitz

tres, multiplicia, quae ad plures. mese autem est gradus soni, cui contigit, ut secundum disiunctionem ad acutum versus tonum habeat incompositum, qui est systematis expers[1]), ad grave versus ditonum aut triemitonium aut tonum incompositum; secundum coniunctionem vero, cui contingit, ut trium tetrachordorum coniunctorum vel medii sit acutissimus vel acutissimi gravissimus. a mese ceterorum quoque sonorum gradus cognoscuntur; ut enim unus quisque eorum ad mesen se habeat, manifestum est.

12. Tonus autem dicitur quadrupliciter; ut sonus enim, ut intervallum, ut ambitus vocis, utque tensio. pro sono igitur hoc nomine utuntur, qui heptatonam dicunt phorminga, ut Terpander et Ion. alter enim nos, inquit, tetratonum aspernati cantum phorminge heptatona novos sonabimus hymnos.

alter autem: lyra undecim chordarum, decem graduum ordinem habens trivias harmonias consonantes; ante quidem te pulsabant heptatonam binis tetrachordis omnes Graeci tenuem cantum tollentes.

et alii non pauci hoc nomine usi sunt; pro intervallo vero, quando dicimus, a mese ad paramesen esse tonum.

tonus est autem quasi locus vocis, quando dicimus

---

1) Wilson l. c. p. 390 Jani coniecturam *ἀπαθῆ ὄντα* (lin. 3) probat; quod idem malit *τῆς τῶν γενῶν διαφορᾶς* pro *τοῦ συστήματος*, improbat; p. 389 emendationem l. 4 *τριημιτόνιον ἢ τόνον* superfluere arbitratur; et haec quidem recte.

(Hermes 37 p. 305sq., Timotheus Perser p. 75 adn. 1), *ἔχ. εἰ* Diels (Festschrift f. Gomperz p. 11), *ἔχ. τρεῖς* Fr. Marx, *ἔχ. τῶν (συμφωνουσῶν ἁρμονιῶν)* Th. Reinach (Revue des ét. Grecques XIV p. 18). *τριόδους*] primus Meibom, *τριώδους* codd. (ω in ras. m 2 W). 20. *πρίν*] *πλήν* W, *πρίν* supra m. 2. *σ'*] *οὖν* W. *ψάλον* W. *δίς*] Bergk p. 427[1] Jan Diels Reinach Fr. Marx, *διά* codd., Bergk p. 463[2] Hiller-Crusius Wilamowitz. 24. *εἶναι τόνον* W. 25. *τόπος ὅταν λέγωμεν φωνῆς* codd.

φρύγιον ἢ λύδιον ἢ τῶν ἄλλων τινά. εἰσὶ δὲ κατὰ Ἀριστόξενον ιγ τόνοι·

ὑπερμιξολύδιος καὶ ὑπερφρύγιος καλούμενος·

μιξολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ ὀξύτερος καὶ ὑπεριάστιος καλεῖται, ὁ δὲ βαρύτερος καὶ ὑπερδώριος·

λύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ βαρύτερος καὶ αἰόλιος καλεῖται·

φρύγιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὧν ὁ βαρύτερος καὶ ἰάστιος καλεῖται·

δώριος εἷς·

ὑπολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος, ὃς καὶ ὑποαιόλιος καλεῖται·

ὑποφρύγιοι δύο, ὧν ὁ βαρύτερος καὶ ὑποιάστιος καλεῖται·

ὑποδώριος.

τούτων ὀξύτατος μὲν ὁ ⟨ὑπερμιξολύδιος, βαρύτατος δὲ ὁ ὑπο⟩δώριος· οἱ δὲ ἑξῆς οἱ ἀπὸ τῶν ὀξυτάτων μέχρι τοῦ βαρυτάτου ἡμιτόνιον ἀλλήλων ὑπερέχοντες, παράλληλοι δὲ δύο ⟨τόνον, οἱ δὲ τρίτοι⟩ τριημιτόνιον· ἀναλόγως δὲ ἕξει καὶ ἐπὶ τῆς τῶν λοιπῶν τόνων διαστάσεως. ὁ δὲ ὑπερμιξολύδιος τοῦ ὑποδωρίου τῷ διὰ πασῶν ἐστιν ὀξύτερος.

ὁ δὲ ὡς τάσις τόνος λέγεται, καθ' ὃ φαμεν ὀξυτονεῖν τινα ἢ βαρυτονεῖν ἢ μέσῳ τῷ τῆς φωνῆς τόνῳ κεχρῆσθαι.

13. Μεταβολὴ δὲ λέγεται τετραχῶς· καὶ γὰρ κατὰ γένος καὶ κατὰ σύστημα καὶ κατὰ τόνον καὶ κατὰ μελοποιΐαν. κατὰ μὲν οὖν γένος γίνεται μεταβολή, ὅταν ἐκ

---

2. τόνοι] W, om. M. 3. ὑπερφρύγιος] ὁ ὑποφρύγιος W. 4. καί] om. W. 5. ὑπεριάστιος] corr. ex ὑποιάστιος M. 6. ὑπερδώριος] ὑποδώριος W. 7. ὧν ὁ βαρύτερος] W, ὃς M³, om. M¹. 9. A καὶ βαρύτερος ad 12 βαρύτερος errant M¹W; quae cum M⁴ corrigeret, etiam quae praecedunt (a lin. 8 καλεῖται) erasit et litteris minoribus scripsit. 16. καὶ ὑπο-

dorium vel phrygium vel lydium vel ceterorum aliquem. sunt autem secundum Aristoxenum toni tredecim:

hypermixolydius, qui idem hyperphrygius appellatur;

mixolydii duo, acutior et gravior, quorum acutior etiam hyperastius appellatur, gravior etiam hyperdorius;

lydii duo, acutior et gravior, quorum gravior etiam aeolius appellatur;

phrygii duo, acutior et gravior, quorum gravior etiam iastius appellatur;

dorius unus;

hypolydii duo, acutior et gravior, qui idem hypoaeolius appellatur;

hypophrygii duo, quorum gravior etiam hypoiastius appellatur;

hypodorius.

horum acutissimus est hypermixolydius, gravissimus hypodorius; toni autem deinceps ab acutissimis usque ad gravissimum sequentes inter se superant semitonio, paralleli duo tono, tertii triemitonio; similiter se habebit ceterorum tonorum distantia. hypermixolydius vero hypodorio consonantia diapason est acutior.

ut tensio autem tonus dicitur, quatenus dicimus, acuto tono aliquem canere vel gravi vel medio vocis tono uti.

13. Mutatio dicitur quadrupliciter: secundum genus enim et secundum systema et secundum tonum et secundum melopoeiam. ac secundum genus fit mutatio,

---

δώριος W. 17. *ὑπερμιξ.* — 18. *ὑπο* in *ὑποδώριος*] add. Jan. 18 *μέχρι*] *ἄχρι* W. 19. *ἡμιτονίῳ* M⁴. *ὑπερέχοντες* **NB**, om. M¹W, M³ corrigens renovat *ἡμιτόνιον* — 20. *τριημιτόνιον.* 20. *τόνον, οἱ δὲ τρίτοι*] add. Jan. *τριημιτονίῳ* M³. 21. *διατάσεως* W. 22. *ὑπερμιξ.*] **NB**, *ὑπομιξ.* M¹W. 28. *μελωποιΐαν* M¹. 29. *γίνεται ἡ μεταβολή* W.

διατόνου εἰς χρῶμα ἢ ἁρμονίαν, ἢ ἐκ χρώματος ἢ ἁρμονίας εἴς τι τῶν λοιπῶν μεταβολὴ γένηται. κατὰ σύστημα δέ, ὅταν ἐκ συναφῆς εἰς διάζευξιν ἢ ἀνάπαλιν μεταβολὴ γένηται. κατὰ τόνον δέ, ὅταν ἐκ δωρίων εἰς φρύγια, ἢ ἐκ φρυγίων εἰς λύδια ἢ ὑπερμιξολύδια ἢ ὑποδώρια, ἢ καθόλου ὅταν ἔκ τινος τῶν δεκατριῶν τόνων εἴς τινα τῶν λοιπῶν μεταβολὴ γένηται. γίνονται δὲ μεταβολαὶ ἀπὸ τῆς ἡμιτονιαίας ἀρξάμεναι μέχρι τοῦ διὰ πασῶν, ὧν αἱ μὲν κατὰ σύμφωνα γίνονται διαστήματα, αἱ δὲ κατὰ διάφωνα. τούτων δ' ἐμμελεῖς μὲν αἵ τε κατὰ σύμφωνα γινόμενα διαστήματα καὶ ἡ τονιαία. τῶν δὲ λοιπῶν αἱ μὲν ἔσσον ἐμμελεῖς ἧττον ἢ ἐκμελεῖς, αἱ δὲ μᾶλλον ⟨ἀπέχουσαι μᾶλλον⟩. ἐν ὅσαις μὲν οὖν αὐτῶν πλείων ἡ κοινωνία, ἐμμελέστεραί ⟨εἰσιν⟩, ἐν ὅσαις δὲ ἐλάττων, ἐκμελέστεραι· ἐπειδὴ ἀναγκαῖον πάσῃ μεταβολῇ κοινόν τι ὑπάρχειν ἢ φθόγγον ἢ διάστημα ἢ σύστημα. λαμβάνεται δὲ ἡ κοινωνία καθ' ὁμοιότητα φθόγγων· ὅταν γὰρ ἐπ' ἀλλήλους ἐν ταῖς μεταβολαῖς πέσωσιν ὅμοιοι φθόγγοι κατὰ τὴν τοῦ πυκνοῦ μετοχήν, ἐμμελὴς γίνεται ἡ μεταβολή, ὅταν δὲ ἀνόμοιοι, ἐκμελής.

κατὰ δὲ μελοποιΐαν γίνεται μεταβολή, ὅταν ἐκ διασταλτικοῦ ἤθους εἰς συσταλτικὸν ἢ ἡσυχαστικόν, ἢ ἐξ ἡσυχαστικοῦ εἴς τι τῶν λοιπῶν ἡ μεταβολὴ γένηται. ἔστι δὲ διασταλτικὸν μὲν ἦθος μελοποιΐας, δι' οὗ σημαίνεται μεγαλοπρέπεια καὶ δίαρμα ψυχῆς ἀνδρῶδες καὶ πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα. χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ τραγῳδία καὶ τῶν λοιπῶν δὲ ὅσα τούτου ἔχεται τοῦ χαρακτῆρος. συσταλτικὸν δέ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διά-

---

8. ἡμιτονιαίας] Jan., ἡμιτονίας codd. ἀρξάμεναι] **NB**, ἀρξάμενος videtur M^1, ἀρξαμένης M^2W. 10. τούτων δ' ἐμμελεῖς μέν] W, τούτων δ' αἱ μὲν ἐμμ. M^4, τούτων ἐμμελεῖς μὲν ἢ ἐκμελεῖς M^1, qui errat ad lin. 12. 12. ἔσσον — ἧ] ἡσσον W. ἧττον] om. M^1. 13. ἀπέχουσαι μᾶλλον] add. Jan, πλείων] πλεῖον M^1? 14. ἐν — 15. ἐκμελέστεραι] **NB**, om. M^1W. 16. φθόγ-

quando ex diatono in chroma vel harmoniam aut ex chromate vel harmonia in ceterorum generum aliquod fit mutatio. secundum systema autem, quando ex coniunctione in disiunctionem aut contra fit mutatio. secundum tonum vero, quando ex doriis in phrygia aut ex phrygiis in lydia vel hypermixolydia vel hypodoria, aut omnino, quando ex aliquo tredecim tonorum in aliquem ceterorum fit mutatio. fiunt autem mutationes a semitoniaea exorsae usque ad diapason, quarum alterae secundum consona fiunt intervalla, alterae secundum dissona. harum sunt concinnae et eae, quae secundum consona intervalla fiunt, et toniaea. ex ceteris propiores minus sunt concinnae quam inconcinnae, remotiores magis. in quibus igitur earum communio est maior, eae concinniores sunt, in quibus minor, inconcinniores, quoniam necesse est omni mutationi aliquid esse commune, aut sonum aut intervallum aut systema. sumitur autem communio secundum similitudinem sonorum; nam si in mutationibus similes soni alii in alios cadunt secundum spissi societatem, concinna fit mutatio, quando vero dissimiles, inconcinna.

secundum melopoeiam fit mutatio, quando ex more diastaltico in systalticum vel hesychasticum aut ex hesychastico in aliquem ceterorum fit mutatio. est autem diastalticus melopoeiae mos, quo significatur magnificentia et virile animi robur et res heroicae et adfectus horum proprii. utitur autem iis maxime tragoedia et ceterorum quaecumque sunt huic generi vicina. systalticus vero, quo contrahitur animus ad humilitatem et habitum viro indignum. conveniet talis status adfecti-

γον] corr. ex *φθόγγων* M¹. 20. *δέ*] om. M¹. *ἐκμελής*] corr. ex *ἐκμελεῖς* M¹. 22. *διασταλτικοῦ*] Lips. 25, *διαστατικοῦ* M¹W, *διαστηματικοῦ* M³. *συσταλτικόν* M³, *συστατικόν* M¹W. 28. *ἡσυχαστικοῦ*] *ἡσυχαστικῶν* M¹. 24. *διασταλτικόν*] *διαστηματικόν* MW. 26. *καὶ πάθη καί* W.

θεσιν. ἁρμόσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι καὶ θρήνοις καὶ οἴκτοις καὶ τοῖς παραπλησίοις. ἡσυχαστικὸν δὲ ἦθός ἐστι μελοποιΐας, ᾧ παρέπεται ἠρεμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν. ἁρμόσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ καὶ τὰ τούτοις ὅμοια.

14. *Μελοποιΐα ἐστὶ χρῆσις τῶν προειρημένων μερῶν τῆς ἁρμονικῆς καὶ ὑποκειμένων δύναμιν ἐχόντων. δι' ὧν δὲ μελοποιΐα ἐπιτελεῖται, δ ἐστιν· ἀγωγή, πλοκή, πετεία, τονή. ἀγωγὴ μὲν οὖν ἐστιν ἡ διὰ τῶν ἑξῆς φθόγγων ὁδὸς τοῦ μέλους, πλοκὴ δὲ ἡ ἐναλλὰξ τῶν διαστημάτων θέσις παράλληλος, πεττεία δὲ ἡ ἐφ' ἑνὸς τόνου πολλάκις γινομένη πλῆξις, τονὴ δὲ ἡ ἐπὶ πλείονα χρόνον μονὴ κατὰ μίαν γινομένη προφορὰν τῆς φωνῆς.*

[διάγραμμα δὲ σχῆμα ἐπίπεδον τὰς τῶν μελῳδουμένων περιέχον δυνάμεις.

δύναμις δέ ἐστι τάξις φθόγγου ἐν συστήματι, ἢ δύναμίς ἐστι τάξις φθόγγου, δι' ἧς γνωρίζομεν τῶν φθόγγων ἕκαστον.

μελοποιΐα δέ ἐστι χρῆσις τῶν ὑποκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ πρὸς τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως.]

οὗτος ὁ ὅρος τῆς κατὰ τὸ ἡρμοσμένον ἐστὶ πραγματείας.

---

1. κατάστημα] fuisse vid. καταίστημα M^1. 7. (προειρη)μέν(ων) in ras. M. μερῶν — 8. ὑποκειμένων] W, om. M^1. 10. ἡ] om. M^1. 11. τῶν τε M. 13. γενομένη W, item lin. 14. 15. διάγραμμα — 22. πραγματείας] om. Vat. 1341, 1346. 15. δέ] insertum vid. M. μελῳδουμένων] ὁμολογουμένων W. 16. δυνά-

bus eroticis et lamentis et miserationibus et similibus. hesychaticus vero melopoeiae mos est, quem sequitur tranquillitas animi atque status et liberalis et placidus. convenient autem ei hymni, paeanes, encomia, consilia et his similia.

14. Melopoeia est usus partium harmonicae, quae ante nominatae sunt quaeque fundamentorum vim habent. formae autem, quibus melopoeia perficitur, sunt quattuor: agoge, ploce, pettia, tone. atque agoge est cantilenae per sonos deinceps positos via, ploce vero alterna intervallorum positio parallela, pettia vero percussio, quae in uno tono fit saepius, tone vero permansio, quae per longius tempus fit secundum unam prolationem vocis.

[diagramma est figura plana, gradus comprehendens sonorum, qui canuntur.

gradus est ordo soni in systemate, sive gradus est ordo soni, per quem cognoscimus unumquemque sonorum.

melopoeia est usus eorum, quae tractationi harmonicae subiecta sunt, pro eo, quod est uniuscuiusque argumenti proprium.]

hic est finis tractationis de compositione harmonica.

μεις] δύναμις M¹. 17. Hoc loco erat in M titulus εἰσαγωγὴ ἁρμονικὴ εὐκλείδου, sed perfossus est. ἐστι] post συστήματι hab. W. ἥ] W, ἡ M. 21. τό] om. W.

FRAGMENTA

COLLEGIT ET DISPOSUIT

J. L. HEIBERG

Inter fragmenta recepi etiam lemmata Pappi ad libros, qui perierunt. sicubi ab editionibus citatis discessi, scripturam earum infra indicaui; codicum scripturas raro commemoraui, nisi ubi eas contra editiones citatas recepi.

Περὶ διαιρέσεων.

1. Proclus Comm. in Eucl. p. 68,23 sqq. (ed. Friedlein): *Πολλὰ μὲν οὖν καὶ ἄλλα τοῦ ἀνδρὸς τούτου* [Euclidis] *μαθηματικὰ συγγράμματα θαυμαστῆς ἀκριβείας καὶ ἐπιστημονικῆς θεωρίας μεστά· τοιαῦτα γὰρ καὶ τὰ Ὀπτικὰ καὶ τὰ Κατοπτρικά, τοιαῦται δὲ καὶ αἱ κατὰ μουσικὴν στοιχειώσεις, ἔτι δὲ τὸ Περὶ διαιρέσεων βιβλίον.*

Idem ibid. p. 144,18 sqq.: *δεύτερον δὲ ἀπὸ τῆς ὁλότητος τελειοῦται* [sc. *ὁ τοῦ σχήματος λόγος*] *τῆς εἰς τὰ ἀνόμοια μέρη διακρινομένης, ὅθεν δὴ καὶ αὐτὸς ἑκάστῳ τῶν εἰδῶν ἐπιφέρει τὸ ὅλον, καὶ τῶν σχημάτων ἕκαστον εἰς διάφορα αὐτῶν εἴδη τέμνεται. καὶ γὰρ ὁ κύκλος εἰς ἀνόμοια τῷ λόγῳ καὶ ἕκαστον τῶν εὐθυγράμμων διαιρετόν ἐστιν, ὃ καὶ αὐτὸς ὁ Στοιχειωτὴς ἐν ταῖς Διαιρέσεσι πραγματεύεται τὸ μὲν εἰς ὅμοια τὰ δοθέντα σχήματα διαιρῶν, τὸ δὲ εἰς ἀνόμοια.*

Cfr. Studien über Euklid p. 36 sqq. sine dubio cum hoc opere Euclidis adfinitate quadam coniunctus est liber III Metricorum Heronis, sed non ita, ut inde Euclidea peti possint.

2. Cod. Paris. supplement. Arab. 952,2 ed. Woepcke, Journal Asiatique, 4e série (1851) XVIII p. 233 sqq.:

Le traité d'Euclide sur la division.

1. Diviser un triangle donné en deux parties égales par une ligne parallèle à sa base.

2. Diviser un triangle donné en trois parties égales par deux lignes parallèles à sa base.

3. Diviser un triangle donné en deux parties égales par une ligne droite menée d'un point donné et situé sur un des côtés du triangle.

4. Diviser un trapèze donné en deux parties égales par une ligne parallèle à sa base.

5. Et nous divisons le trapèze donné en trois parties égales, comme nous venons de diviser le triangle, par une construction analogue à la construction précédente.

6. Diviser un parallélogramme en deux parties égales par une ligne droite menée d'un point donné et situé sur un des côtés du parallélogramme.

7. Couper une partie déterminée quelconque d'un parallélogramme donné par une ligne droite menée d'un point donné et situé sur un des côtés du parallélogramme.

8. Diviser un trapèze donné en deux parties égales par une ligne droite menée d'un point donné et situé sur le côté supérieur du trapèze.

9. Couper une partie déterminée d'un trapèze donné par une ligne droite menée d'un point donné et situé sur le côté supérieur du trapèze.

10. Diviser un parallélogramme en deux parties égales par une ligne droite menée d'un point donné en dehors du parallélogramme.

11. Couper une partie déterminée d'un parallélogramme par une ligne droite menée d'un point donné en dehors du parallélogramme.

12. Diviser un trapèze donné en deux parties égales par une ligne droite menée d'un point qui n'est pas situé sur le côté supérieur de ce trapèze. Il est nécessaire que ce point ne soit pas situé au delà du point de concours des deux côtés.

13. Couper une partie déterminée d'un trapèze donné par une ligne droite menée d'un point donné qui n'est pas situé sur le côté supérieur de ce trapèze. Il est

nécessaire que ce point ne soit pas situé au delà du point de concours des deux côtés du trapèze.

14. Diviser un quadrilatère donné en deux parties égales par une ligne droite menée d'un sommet donné du quadrilatère.

15. Couper une partie déterminée d'un quadrilatère donné par une ligne menée d'un sommet donné du quadrilatère.

16. Diviser un quadrilatère donné en deux parties égales par une ligne droite menée d'un point donné et situé sur un des côtés du quadrilatère.

17. Couper une partie déterminée d'un quadrilatère par une ligne droite menée d'un point donné et situé sur un des côtés du quadrilatère.

18. Appliquer à une ligne droite un rectangle égal au rectangle contenu sous les deux droites AB, AC, et défaillant d'un carré.



Après avoir démontré ce que nous venons de dire, si quelqu'un dit: D'où vient-il qu'il est impossible d'appliquer à la ligne AB un rectangle, tel que le rectangle AE en EB, égal au rectangle AB en AC et défaillant d'un carré — nous disons: que cela est impossible, parce que AB est plus grand que BE, et AC plus grand que AE, et conséquemment le rectangle BA en AC plus grand que le rectangle AE en EB. Donc, lorsqu'on applique à la ligne AB un parallélogramme égal au rectangle AB en AC, le rectangle AZ en ZB est. . . .[1])

19. Diviser un triangle donné en deux parties égales par une droite qui passe par un point donné et situé dans l'intérieur du triangle.

1) Lacunam indicauit Woepcke.

Que le triangle donné soit ABC, et le point donné dans l'intérieur de ce triangle D. Nous nous proposons de faire passer par D une ligne droite qui divise le triangle ABC en deux parties égales.



Menons du point D une ligne parallèle à la ligne BC, laquelle soit DE, et appliquons à DE un rectangle égal à la moitié du rectangle AB en BC, lequel soit TB en ED. Appliquons à la ligne TB un parallélogramme égal au rectangle BT en BE et défaillant d'un carré. Que le rectangle appliqué soit le rectangle BH en HT. Menons la droite DH et prolongeons-la jusqu'à Z. Je dis qu'alors on a obtenu la ligne demandée, et que le triangle ABC est divisé en deux parties égales HBZ et $HZCA$.

Démonstration. Le rectangle TB en BE est égal au rectangle TH en HB, d'où il suit BT à TH comme HB à BE, donc dividendo TB à BH comme HB à HE. Mais on a BH à HE comme BZ à ED, donc TB à BH comme BZ à ED. Conséquemment le rectangle TB en ED est égal au rectangle BH en BZ. Mais le rectangle TB en ED était égal à la moitié du rectangle AB en BC; et le rectangle BH en BZ est au rectangle AB en BC comme le triangle HBZ au triangle ABC, parce que l'angle B est commun. Ce triangle HBZ est donc la moitié du triangle ABC. Conséquemment le triangle ABC est divisé en deux parties égales BHZ et $AHZC$.

Si, en appliquant à TB un parallélogramme égal au rectangle TB en BE et dont le complément est un carré, nous obtenons le rectangle AB en AT, nous démontront d'une manière analogue, en menant la droite

AD et en la prolongeant jusqu'à K, que le triangle ABK est la moitié du triangle ABC. Et c'est ce qu'il s'agissait de démontrer.

20. Couper une partie déterminée d'un triangle donné par une ligne droite menée d'un point donné et situé dans l'intérieur du triangle.

Que le triangle donné soit ABC et le point donné dans l'intérieur de ce triangle D. Nous nous proposons de faire passer par le point D une ligne droite qui coupe une partie déterminée du triangle ABC.



Que la partie déterminée soit le tiers. Menons du point D une ligne parallèle à la ligne BC, laquelle soit DE, et appliquons à DE un rectangle égal au tiers du rectangle AB en BC. Que ce soit le rectangle BZ en ED. Appliquons ensuite à ZB un rectangle égal au rectangle ZB en BE et défaillant d'un carré. Que le rectangle appliqué soit le rectangle BH en HZ. Menons la ligne HD et prolongeons-la jusqu'à T.

En procédant comme ci-dessus, on démontrera que le triangle HTB est le tiers du triangle ABC; et au moyen d'une construction analogue à celle-ci, nous divisons le triangle en des parties quelconques. Mais c'est ce qu'il s'agissait de démontrer.

21. Qu'on ait quatre lignes A, B, C, D, et que le produit de A en D soit plus grand que le produit de B en C. Je dis que le rapport de A à B sera plus grand que le rapport de C à D.

22. Et lorsque le produit de A en D est plus petit que le produit de B en C, je dis que le rapport de A à B est plus petit que le rapport de C à D.

23. Qu'on ait deux lignes droites, et sur ces droites les points *A, B, D, E*; et que le rapport de *AB* à *BC*



soit plus grand que le rapport de *DE* à *EZ*. Je dis que dividendo le rapport de *AC* à *CB* sera plus grand que le rapport de *DZ* à *ZE*.

24. Et d'une manière parfaitement analogue, je dis que lorsque le rapport de *AC* à *CB* est plus grand que le rapport de *DZ* à *ZE*, on aura componendo le rapport de *AB* à *BC* plus grand que le rapport de *DE* à *EZ*.

25. Supposons encore que le rapport de *AB* à *BC*



soit plus petit que le rapport de *DE* à *EZ*. Dividendo le rapport de *AC* à *CB* sera plus petit que le rapport de *DZ* à *ZE*.

26. Diviser un triangle donné en deux parties égales par une ligne droite menée d'un point donné et situé en dehors du triangle.

27. Couper une partie déterminée d'un triangle par une ligne droite menée d'un point donné et situé en dehors du triangle.

28. Diviser en deux parties égales une figure donnée terminée par un arc de cercle et par deux lignes droites qui renferment un angle donné.

Que la figure donnée soit *ABC* terminée par l'arc *BC* et par les deux droites *AB, AC* qui renferment l'angle *BAC*. Nous nous proposons de mener une ligne droite qui divise la figure *ABC* en deux parties égales.

Menons la droite BC et divisons-la en deux parties égales au point E. Menons du point E une ligne perpendiculaire à la ligne BC, laquelle soit EZ, et menons la droite AE. Alors, parce que BE est égal à EC, la surface BZE sera égale à la surface EZC, et le triangle ABE égal au triangle AEC. Donc la figure $ABZE$ sera égale à la figure $ZCAE$. Alors, si la ligne AE est le prolongement de la ligne EZ, la figure ABC sera divisée en deux parties égales $ABZE$ et $CAEZ$. Si la ligne AE n'est pas le prolongement de la ligne ZE, nous joignons A et Z par une droite, et menons du point E une ligne parallèle à la ligne AZ, laquelle soit ET. Enfin nous menons la droite TZ. Je dis que la ligne TZ est celle qu'il s'agissait de trouver, et que la figure ABC est divisée en deux parties égales, $ABZT$ et ZCT.



Car, puisque les deux triangles TZA et EZA sont construits sur la même base AZ et compris entre les mêmes parallèles AZ, TE, le triangle ZTA est égal au triangle AEZ. Donc, en ajoutant à tous les deux la partie commune AZB, on aura $TZBA$ égal à $ABZE$. Mais cette dernière figure était la moitié de la figure ABC; conséquemment la droite ZT est celle qu'il s'agissait d'obtenir, et $BZCA$ est divisé en deux parties égales $ABZT$, TZC. C'est ce qu'il s'agissait de démontrer.

29. Mener dans un cercle donné deux lignes parallèles et coupant une partie déterminée du cercle.

Que la partie soit le tiers, et le cercle ABC. Nous nous proposons de faire ce qu'on vient de dire.

Construisons le côté du triangle inscrit à ce cercle.

Que ce soit AC. Menons les deux droites AD, DC, et faisons passer par le point D une ligne parallèle à la ligne AC, laquelle soit DB. Menons la droite CB, divisons l'arc AC en deux parties égales au point E, et menons du point E une droite parallèle à la ligne BC, laquelle soit EZ. Enfin menons la droite AB. Je dis qu'on a obtenu deux lignes parallèles EZ, CB, coupant un tiers du cercle ABC, à savoir la figure $ZBCE$.



Démonstration. La ligne AC étant parallèle à la ligne DB, le triangle DAC sera égal au triangle BAC; qu'on ajoute à tous les deux une partie commune, à savoir le segment de cercle AEC; la figure entière $DAEC$ sera égale à la figure $BAEC$. Mais la figure $DAEC$ est le tiers du cercle ABC. Conséquemment la figure $BAEC$ est également le tiers du cercle. Comme EZ est parallèle à CB, l'arc EC sera égal à l'arc BZ; mais on avait EC égal à EA, donc EA égal à ZB. Ajoutons de part et d'autre l'arc ECB; l'arc entier AB sera égal à l'arc entier EZ. Conséquemment la droite AB sera égale à la droite EZ, et le segment de cercle $AECB$ sera égal au segment de cercle $ECBZ$. En retranchant le segment commun BC, il reste la figure $EZBC$ égale à la figure $BAEC$. Mais la figure $BAEC$ était le tiers du cercle ABC. Donc la figure $EZBC$ est le tiers du cercle ABC. Et c'est ce qu'il s'agissait de démontrer.

Lorsque nous nous proposons de couper d'un cercle son quart, ou son cinquième, ou une autre partie déterminée, au moyen de deux lignes parallèles, nous con-

struisons dans ce cercle le côté du carré ou du pentagone inscrit à ce cercle, et nous menons, du centre aux extrémités de ce côté, deux lignes droites, comme nous venons de le faire. La construction sera analogue à ce qui précède.

30. Diviser un triangle donné par une ligne parallèle à sa base en deux parties, de manière que le rapport de l'une des deux parties à l'autre soit égal à un rapport donné [cfr. Hero, Metr. III 2].

31. Diviser un triangle donné par des lignes parallèles à sa base en des parties qui ont entre elles des rapports donnés.

32. Diviser un trapèze donné par une ligne parallèle à sa base en deux parties, de manière que le rapport de l'une de ces parties à l'autre soit égal à un rapport donné.

33. Diviser un trapèze donné par des lignes parallèles à sa base en des parties qui ont entre elles des rapports donnés.

34. Diviser un quadrilatère donné par une droite menée d'un sommet donné du quadrilatère en deux parties, de manière que le rapport de l'une de ces parties à l'autre soit égal à un rapport donné.

35. Diviser un quadrilatère donné par des droites menées d'un sommet donné du quadrilatère en des parties qui ont entre elles des rapports donnés.

36. Ayant résolu ce qui précède, nous sommes en état de diviser un quadrilatère donné suivant un rapport donné, ou suivant des rapports donnés, par une droite, ou par des droites, menées d'un point donné et situé sur un des côtés du quadrilatère, en ayant égard aux conditions mentionnées ci-dessus.

Fin du traité. Nous nous sommes borné à donner les énoncés sans les démonstrations, parce que les démonstrations sont faciles.

Cfr. Studien über Euklid p. 14sqq.

Ψευδάρια.

3. Proclus Comm. in Eucl. p. 70,1 sqq. (ed. Friedlein): *Ἐπειδὴ δὲ πολλὰ φαντάζεται μὲν ὡς τῆς ἀληθείας ἀντεχόμενα καὶ ταῖς ἐπιστημονικαῖς ἀρχαῖς ἀκολουθοῦντα, φέρεται δὲ εἰς τὴν ἀπὸ τῶν ἀρχῶν πλάνην καὶ τοὺς ἐπιπολαιοτέρους ἐξαπατᾷ, μεθόδους παραδέδωκεν* [sc. Euclides] *καὶ τῆς τούτων διορατικῆς φρονήσεως, ἃς ἔχοντες γυμνάζειν μὲν δυνησόμεθα τοὺς ἀρχομένους τῆς θεωρίας ταύτης πρὸς τὴν εὕρεσιν τῶν παραλογισμῶν, ἀνεξαπάτητοι δὲ διαμένειν. καὶ τοῦτο δὴ τὸ σύγγραμμα, δι' οὗ τὴν παρασκευὴν ἡμῖν ταύτην ἐντίθησι, Ψευδαρίων ἐπέγραψεν τρόπους τε αὐτῶν ποικίλους ἐν τάξει διαριθμησάμενος καὶ καθ' ἕκαστον γυμνάσας ἡμῶν τὴν διάνοιαν παντοίοις θεωρήμασι καὶ τῷ ψεύδει τὸ ἀληθὲς παραθεὶς καὶ τῇ πείρᾳ τὸν ἔλεγχον τῆς ἀπάτης συναρμόσας. τοῦτο μὲν οὖν τὸ βιβλίον καθαρτικόν ἐστι καὶ γυμναστικόν.*

Cfr. Pseudo-Alexander siue Michael Ephesius in Aristot. Soph. Elenchos p. 76, 20 (ed. Wallies): *Οὐ μόνον δὲ τοὺς μὴ ἀπὸ τῶν ἀρχῶν ὡρμημένους τῆς ἐπιστήμης, ὑφ' ἣν ἐστι τὸ πρόβλημα, δοκοῦντας δὲ εἶναι, ψευδεῖς ἐλέγχους φησίν, ἀλλὰ καὶ τοὺς ἐκ τῶν οἰκείων μὲν τῆς ἐπιστήμης ἀρχῶν, κατά τι δὲ παραλογιζομένους, οἷά εἰσι τὰ τοῦ Εὐκλείδου ψευδογραφήματα.* Scholia in Platonis Theaet. 191 b (p. 248 ed. Hermann): *ἐπειδὰν ἡμᾶς ἐρωτᾷ περὶ τῶν ἔξω τῆς αἰσθήσεως, εἰ δυνατὸν συστῆναι ψευδοδοξίαν, οἷον ἐπὶ τῶν παρὰ τοῖς γεωμέτραις καλουμένων ψευδαρίων.*[1]) *οὐ γὰρ διὰ μῖξιν αἰσθήσεως ψευδογραφοῦσιν.*[2])

1) *ψευδαριθμῶν* codd., corr. Ruhnken.

2) Quae de excerptis Alexandri apud Simplicium in Phys. Arist. I p. 54 sq. ed. Diels (cfr. I p. 54, 11 *ἐπί τινων ἐν γεωμετρίᾳ ψευδογραφημάτων*) suspicatur Paulus Tannery Bull. d.

Πορίσματα.

4. Proclus Comm. in Eucl. p. 212,12 sqq.: *Τὸ δὲ πόρισμα λέγεται μὲν καὶ ἐπὶ προβλημάτων τινῶν, οἷον τὰ Εὐκλείδῃ γεγραμμένα πορίσματα, λέγεται δὲ ἰδίως, ὅταν ἐκ τῶν ἀποδεδειγμένων ἄλλο τι συναναφανῇ θεώρημα μὴ προθεμένων ἡμῶν, ὃ καὶ διὰ τοῦτο πόρισμα κεκλήκασιν ὥσπερ τι κέρδος ὂν τῆς ἐπιστημονικῆς ἀποδείξεως πάρεργον.*

Idem ibid. p. 301,21 sqq.: *Ἔν τι τῶν γεωμετρικῶν ἐστιν ὀνομάτων τὸ πόρισμα. τοῦτο δὲ σημαίνει διττόν· καλοῦσι γὰρ πορίσματα, καὶ ὅσα θεωρήματα συγκατασκευάζεται ταῖς ἄλλων ἀποδείξεσιν οἷον ἕρμαια καὶ κέρδη τῶν ζητούντων ὑπάρχοντα, καὶ ὅσα ζητεῖται μέν, εὑρέσεως δὲ χρήζει καὶ οὔτε γενέσεως μόνης οὔτε θεωρίας ἁπλῆς. ὅτι μὲν γὰρ τῶν ἰσοσκελῶν αἱ πρὸς τῇ βάσει ἴσαι, θεωρῆσαι δεῖ, καὶ ὄντων δή τινων*[1] *πραγμάτων ἐστὶν ἡ τοιαύτη γνῶσις, τὴν δὲ γωνίαν δίχα τεμεῖν ἢ τρίγωνον συστήσασθαι ἢ ἀφελεῖν ἢ προσθέσθαι*[2]*, ταῦτα πάντα ποιησίν τινος ἀπαιτεῖ· τοῦ δὲ δοθέντος κύκλου τὸ κέντρον εὑρεῖν ἢ δύο δοθέντων συμμέτρων μεγεθῶν τὸ μέγιστον καὶ κοινὸν μέτρον εὑρεῖν ἢ ὅσα τοιάδε μεταξύ πώς ἐστι προβλημάτων καὶ θεωρημάτων. οὔτε γὰρ γενέσεις εἰσὶν ἐν τούτοις τῶν ζητουμένων, ἀλλ' εὑρέσεις, οὔτε θεωρία ψιλή· δεῖ γὰρ ὑπ' ὄψιν ἀγαγεῖν καὶ πρὸ ὀμμάτων ποιήσασθαι τὸ ζητούμενον. τοιαῦτα ἄρα ἐστὶν καί, ὅσα Εὐκλείδης πορίσματα γέγραφε γ̄ βιβλία Πορισμάτων συντάξας. ἀλλὰ περὶ μὲν τῶν τοιούτων πορισμάτων παρείσθω λέγειν.*

---

sc. math. 2e série VI p. 147, ut sunt ueri similia, ita non tam certa esse existimo, ut excerpta illa inter fragmenta operis Euclidiani recipere audeam.

1) *τινων*] *τῶν* codd.

2) *προσθέσθαι*] *θέσθαι* codd.

Cfr. scholia in Eucl. I nr. 61 et 62 (V p. 144, 9 sqq., p. 146, 19 sqq.).[1])

5. Pappus *Συναγ.* VII 3 p. 636, 18 sqq. (ed. Hultsch): *Τῶν δὲ προειρημένων τοῦ ἀναλυομένου βιβλίων ἡ τάξις ἐστὶν τοιαύτη· Εὐκλείδου Δεδομένων βιβλίον* $\bar{\alpha}$, *Ἀπολλωνίου Λόγου ἀποτομῆς* $\bar{\beta}$, *Χωρίου ἀποτομῆς* $\bar{\beta}$, *Διωρισμένης τομῆς δύο, Ἐπαφῶν δύο, Εὐκλείδου Πορισμάτων τρία κτλ.*

Idem ibid. VII 13 p. 648, 18 sqq.:

Μετὰ δὲ τὰς Ἐπαφὰς ἐν τρισὶ βιβλίοις Πορίσματά ἐστιν Εὐκλείδου, πολλοῖς ἄθροισμα φιλοτεχνότατον εἰς τὴν ἀνάλυσιν τῶν ἐμβριθεστέρων προβλημάτων, καὶ τῶν γενῶν ἀπερίληπτον τῆς φύσεως παρεχομένης πλῆθος οὐδὲν προστεθείκασι τοῖς ὑπὸ Εὐκλείδου γραφεῖσι πρώτου, χωρὶς εἰ μή τινες τῶν πρὸ ἡμῶν ἀπειρόκαλοι δευτέρας γραφὰς ὀλίγοις αὐτῶν παρατεθείκασιν ἑκάστου μὲν πλῆθος ὡρισμένου ἔχοντος ἀποδείξεων, ὡς ἐδείξαμεν, τοῦ δ' Εὐκλείδου μίαν ἑκάστου θέντος τὴν μάλιστά πως ἐμφαίνουσαν. ταῦτα δὲ λεπτὴν καὶ φυσικὴν ἔχει θεωρίαν καὶ ἀναγκαίαν καὶ καθολικωτέραν καὶ τοῖς δυναμένοις ὁρᾶν καὶ πορίζειν ἐπιτερπῆ. ἅπαντα δὲ αὐτῶν τὰ εἴδη οὔτε θεωρημάτων ἐστὶν οὔτε προβλημάτων, ἀλλὰ μέσον πως τούτων ἐχούσης ἰδέας, ὥστε τὰς προτάσεις αὐτῶν δύνασθαι σχηματίζεσθαι ἢ ὡς

---

1) Hinc confirmatur scriptura *βιβλία Πορισμάτων* (*προβλημάτων* codd. Procli), u. V p. 144, 25; 146, 24. sed *γέγραφεν* pro *γέγραφε γ'* cum codd. Procli habuerunt scholiastae.

---

11. *πολλοῖς*] del. Hultsch. 12. *καὶ*] del. Hultsch. 13. *οὐδὲν*] et sqq. ad *ἐπιτερπῆ* lin. 21 del. Hultsch. 18. *ἑκάστου*] *ἑκάστοτε* Hultsch. 19. *πως ἐμφαίνουσαν*] *ἀπεμφαίνουσαν* cod., *ὑπεμφαίνουσαν* Halley, Hultsch. 23. *ὥστε* — p. 239, 1 *προβλημάτων*] del. Hultsch.

θεωρημάτων ἢ ὡς προβλημάτων, παρ' ὃ καὶ συμβέβηκε τῶν πολλῶν γεωμετρῶν τοὺς μὲν ὑπολαμβάνειν αὐτὰ εἶναι τῷ γένει θεωρήματα τοὺς δὲ προβλήματα ἀποβλέποντας εἰς τὸ σχῆμα μόνον τῆς προτάσεως. τὴν δὲ διαφορὰν τῶν τριῶν τούτων ὅτι βέλτιον ἤδεσαν οἱ ἀρχαῖοι, δῆλον ἐκ τῶν ὅρων. ἔφασαν γὰρ θεώρημα μὲν εἶναι τὸ προτεινόμενον εἰς ἀπόδειξιν αὐτοῦ τοῦ προτεινομένου, πρόβλημα δὲ τὸ προβαλλόμενον εἰς κατασκευὴν αὐτοῦ τοῦ προτεινομένου, πόρισμα δὲ τὸ προτεινόμενον εἰς πορισμὸν αὐτοῦ τοῦ προτεινομένου. μετεγράφη δὲ οὗτος ὁ τοῦ πορίσματος ὅρος ὑπὸ τῶν νεωτέρων μὴ δυναμένων ἅπαντα πορίζειν, ἀλλὰ συγχρωμένων τοῖς στοιχείοις τούτοις καὶ δεικνύντων αὐτὸ μόνον τοῦθ', ὅτι ἔστι τὸ ζητούμενον, μὴ ποριζόντων δὲ τοῦτο καὶ ἐλεγχομένων ὑπὸ τοῦ ὅρου καὶ τῶν διδασκομένων. ἔγραψαν δὲ ἀπὸ συμβεβηκότος οὕτως· πόρισμά ἐστιν τὸ λεῖπον ὑποθέσει τοπικοῦ θεωρήματος. τούτου δὲ τοῦ γένους τῶν πορισμάτων εἶδός ἐστιν οἱ τόποι καὶ πλεονάζουσιν ἐν τῷ ἀναλυομένῳ· κεχωρισμένον δὲ τῶν πορισμάτων ἤθροισται καὶ ἐπιγράφεται καὶ παραδίδοται διὰ τὸ πολύχυτον εἶναι μᾶλλον τῶν ἄλλων εἰδῶν [τῶν γοῦν τόπων ἐστὶν ἃ μὲν ἐπιπέδων ἃ δὲ στερεῶν ἃ δὲ γραμμικῶν καὶ ἔτι τῶν πρὸς μεσότητας]. συμβέβηκε δὲ καὶ τοῦτο τοῖς πορίσμασιν τὰς προτάσεις ἔχειν ἐπιτετμημένας διὰ τὴν σκολιότητα πολλῶν συνήθως σύνυπακουομένων· ὥστε πολλοὺς τῶν γεωμετρῶν ἐπὶ μέρους ἐκδέχεσθαι, τὰ δὲ ἀναγκαιότερα ἀγνοεῖν τῶν σημαινομένων. περιλαβεῖν δὲ πολλὰ μιᾷ προτάσει ἥκιστα δυνατὸν ἐν τούτοις διὰ τὸ καὶ αὐτὸν Εὐκλείδην οὐ πολλὰ ἐξ ἑκάστου εἴδους τεθεικέναι, ἀλλὰ δείγματος ἕνεκα ἐκ τῆς

---

10. μετεγράφη — 23. μεσότητας] del. Hultsch. 28. περιλαβεῖν — p. 240, 3 πλῆθος] del. Hultsch.

πολυπληθείας ἓν ἢ ὀλίγα. πρὸς ἀρχῇ δὲ ὅμως τοῦ πρώτου βιβλίου τέθεικεν ὁμοειδῆ τινα· ἐκείνου τοῦ δαψιλεστέρου εἴδους τῶν τόπων ὡς ī τὸ πλῆθος. διὸ καὶ περιλαβεῖν ταύτας μιᾷ προτάσει ἐνδεχόμενον εὑρόντες οὕτως ἐγράψαμεν· ἐὰν ὑπτίου ἢ παρυπτίου τρία τὰ ἐπὶ μιᾶς σημεῖα ἢ παραλλήλου τῆς ἑτέρας τὰ δύο δεδομένα ᾖ, τὰ δὲ λοιπὰ πλὴν ἑνὸς ἅπτηται θέσει δεδομένης εὐθείας, καὶ τοῦθ' ἅψεται θέσει δεδομένης εὐθείας. τοῦτ' ἐπὶ τεσσάρων μὲν εὐθειῶν εἴρηται μόνων, ὧν οὐ πλείονες ἢ δύο διὰ τοῦ αὐτοῦ σημείου εἰσίν, ἀγνοεῖται δὲ ἐπὶ παντὸς τοῦ προτεινομένου πλήθους ἀληθὲς ὑπάρχον οὕτως λεγόμενον . . . τὸν δὲ Στοιχειωτὴν οὐκ εἰκὸς ἀγνοῆσαι τοῦτο, τὴν δ' ἀρχὴν μόνην τάξαι. καὶ ἐπὶ πάντων δὲ τῶν πορισμάτων φαίνεται ἀρχὰς καὶ σπέρματα μόνα πλήθει πολλῶν καὶ μεγάλων καταβεβλημένος, ὧν τὰ γένη οὐ κατὰ τὰς τῶν ὑποθέσεων διαφορὰς διαστέλλειν δεῖ, ἀλλὰ κατὰ τὰς τῶν συμβεβηκότων καὶ ζητουμένων. αἱ μὲν γὰρ ὑποθέσεις ἅπασαι διαφέρουσιν ἀλλήλων εἰδικώταται οὖσαι, τῶν δὲ συμβαινόντων καὶ ζητουμένων ἕκαστον ἓν καὶ τὸ αὐτὸ ὂν πολλαῖς ὑποθέσεσι διαφόροις συμβέβηκε. ποιητέον οὖν ἐν μὲν τῷ πρώτῳ βιβλίῳ ταῦτα τὰ γένη τῶν ἐν ταῖς προτάσεσι ζητουμένων· ἐν ἀρχῇ μὲν τοῦ βιβλίου διάγραμμα τοῦτο·

ἐὰν ἀπὸ δύο δεδομένων σημείων πρὸς θέσει δεδομένην εὐθεῖαι κλασθῶσιν, ἀποτέμνῃ δὲ μία ἀπὸ θέσει

---

1. ἓν ἢ] Littré, ἐν ἧι cod.; ἕνια Breton, Hultsch. ἀρχῇ] ἀρχὴν cod., Hultsch. δὲ ὅμως] uel δὲ μόνον ego, δεδομένον sequente lacuna cod., del. Hultsch. 2. τινα] πᾶν cod., πάντ' Hultsch. 6. ᾖ — τὰ (pr.)] del. Hultsch. τῆς ἑτέρας] ἕτερα cod., Hultsch. δύο] om. cod., add. Hultsch cum Simsono. 11. λεγόμενον] quae sequuntur, ad librum Euclidis illustrandum non pertinent. 15. πλήθει] πληθῶν cod. et Hultsch, qui πληθῶν — μεγάλων del. 18. αἱ — 21. συμβέβηκε] del. Hultsch. 18. γὰρ] om. cod., Hultsch. 21. συμβέβηκε] Halley, συμβέβηκε τῶι ταῦτα γένη cod., συμβέβηκε διαιρεῖσθαι Hultsch. 23. ἐν — τοῦτο] del. Hultsch. βιβλίου] ζ cod., Hultsch.

δεδομένης εὐθείας πρὸς τῷ ἐπ' αὐτῆς δεδομένῳ σημείῳ, ἀποτεμεῖ καὶ ἡ ἑτέρα ἀπὸ ἑτέρας λόγον ἔχουσαν δοθέντα·

ἐν δὲ τοῖς ἑξῆς·

I. ὅτι τόδε τὸ σημεῖον ἅπτεται θέσει δεδομένης εὐθείας.

II. ὅτι λόγος τῆσδε πρὸς τήνδε δοθείς.

III. ὅτι λόγος τῆσδε πρὸς ἀποτομήν.

IV. ὅτι ἥδε θέσει δεδομένη ἐστίν.

V. ὅτι ἥδε ἐπὶ δοθὲν νεύει.

VI. ὅτι λόγος τῆσδε πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος.

VII. ὅτι λόγος τῆσδε πρός τινα ἀπὸ τοῦδε κατηγμένην.

VIII. ὅτι λόγος τοῦδε τοῦ χωρίου πρὸς τὸ ὑπὸ δοθείσης καὶ τῆσδε.

IX. ὅτι τοῦδε τοῦ χωρίου ὃ μέν τι δοθὲν ἐστιν, ὃ δὲ λόγον ἔχει πρὸς ἀποτομήν.

X. ὅτι τόδε τὸ χωρίον ἢ τόδε μετά τινος χωρίου δοθὲν ἐστιν, ἐκεῖνο δὲ λόγον ἔχει πρὸς ἀποτομήν.

XI. ὅτι ἡ, μεθ' ἧς πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα, λόγον ἔχει πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος.

XII. ὅτι τὸ ὑπὸ δοθείσης καὶ τῆσδε ἴσον ἐστὶν τῷ ὑπὸ δοθείσης καὶ τῆς ἀπὸ τοῦδε ἕως δοθέντος.

XIII. ὅτι λόγος τῆσδε καὶ τῆσδε πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος.

XIV. ὅτι ἥδε ἀποτέμνει ἀπὸ θέσει δεδομένων δοθὲν περιεχούσας.

Ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ ὑποθέσεις μὲν ἕτεραι, τῶν δὲ ζητουμένων τὰ μὲν πλείονα τὰ αὐτὰ τοῖς ἐν τῷ πρώτῳ βιβλίῳ, περισσὰ δὲ ταῦτα·

---

18. *δοθέν*] *δοθέντος* cod., Hultsch. 20. *ἡ*] *ἥδε* cod., del. Hultsch. 22. *δοθείσης*] *δοθέντι* cod.; *δοθέντος* Halley, Hultsch. 23. *δοθείσης*] *δοθέντι* cod.; *δοθέντος* Halley, Hultsch.

XV. ὅτι τόδε τὸ χωρίον ἢ τόδε μετὰ δοθέντος λόγον ἔχει πρὸς ἀποτομήν.

XVI. ὅτι λόγος τοῦ ὑπὸ τῶνδε πρὸς ἀποτομήν.

XVII. ὅτι λόγος τοῦ ὑπὸ συναμφοτέρων τῶνδε καὶ συναμφοτέρων τῶνδε πρὸς ἀποτομήν.

XVIII. ὅτι τὸ ὑπὸ τῆσδε καὶ συναμφοτέρου τῆσδε τε καὶ τῆς, πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα, καὶ τὸ ὑπὸ τῆσδε καὶ τῆς, πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα, λόγον ἔχει πρὸς ἀποτομήν.

XIX. ὅτι λόγος συναμφοτέρου πρός τινα ἀπὸ τοῦδε ἕως δοθέντος.

XX. ὅτι δοθὲν τὸ ὑπὸ τῶνδε.

Ἐν δὲ τῷ τρίτῳ βιβλίῳ αἱ μὲν πλείονες ὑποθέσεις ἐπὶ ἡμικυκλίων εἰσίν, ὀλίγαι δὲ ἐπὶ κύκλου καὶ τμημάτων, τῶν δὲ ζητουμένων τὰ μὲν πολλὰ παραπλήσια τοῖς ἔμπροσθεν, περισσὰ δὲ ταῦτα·

XXI. ὅτι λόγος τοῦ ὑπὸ τῶνδε πρὸς τὸ ὑπὸ τῶνδε.

XXII. ὅτι λόγος τοῦ ἀπὸ τῆσδε πρὸς ἀποτομήν.

XXIII. ὅτι τὸ ὑπὸ τῶνδε τῷ ὑπὸ δοθείσης καὶ τῆς ἀπὸ τοῦδε ἕως δοθέντος.

XXIV. ὅτι τὸ ἀπὸ τῆσδε τῷ ὑπὸ δοθείσης καὶ ἀπολαμβανομένης ὑπὸ καθέτου ἕως δοθέντος.

XXV. ὅτι συναμφότερος ἥδε καὶ πρὸς ἣν ἥδε λόγον ἔχει δοθέντα λόγον ἔχει πρὸς ἀποτομήν.

XXVI. ὅτι ἔστιν τι δοθὲν σημεῖον, ἀφ' οὗ αἱ ἐπιζευγνύμεναι ἐπὶ τούσδε δοθὲν περιέξουσι τῷ εἴδει τρίγωνον.

XXVII. ὅτι ἔστιν τι δοθὲν σημεῖον, ἀφ' οὗ αἱ ἐπιζευγνύμεναι ἐπὶ τόνδε ἴσας ἀπολαμβάνουσι περιφερείας.

---

11. δοθέντος] δοθέντος ἀποτομήν suspicatur Hultsch.
15. παραπλήσια] παραπλησίως cod., Hultsch.

XXVIII. *ὅτι ἥδε ἤτοι παρὰ θέσει ἐστὶν ἢ μετά τινος εὐθείας ἐπὶ δοθὲν νευούσης δοθεῖσαν περιέχει γωνίαν.*

ἔχει δὲ τὰ τρία βιβλία τῶν Πορισμάτων λήμματα $\overline{\lambda\eta}$, *αὐτὰ δὲ θεωρημάτων ἐστὶν ροᾱ.*

De hoc loco cfr. Studien über Eukl. p. 64 sqq., p. 72 sqq.

6. Pappus *Συναγ.* VII 193 p. 866, 1 sqq.

Lemmata ad Porismata.

Πορισμάτων α′ β′ γ′.

Τοῦ πρώτου εἰς τὸ πρῶτον πόρισμα.



α′. Ἔστω καταγραφὴ ἡ ΑΒΓΔΕΖΗ, καὶ ἔστω, ὡς ἡ ΑΖ πρὸς τὴν ΖΗ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, καὶ ἐπεζεύχθω ἡ ΘΚ· ὅτι παράλληλός ἐστιν ἡ ΘΚ τῇ ΑΓ.

ἤχθω διὰ τοῦ Ζ τῇ ΒΔ παράλληλος ἡ ΖΛ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΖ πρὸς τὴν ΖΗ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, ἀνάπαλιν καὶ συνθέντι καὶ ἐναλλάξ ἐστιν, ὡς ἡ ΔΑ πρὸς τὴν ΑΖ, τουτέστιν ἐν παραλλήλῳ ὡς ἡ ΒΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΓΑ πρὸς τὴν ΑΗ· παρ-

1. *ἥδε ἤτοι*] Hultsch in indice s. v. *παράθεσις*, *ηδεντοι* cod., *ἥδε ἤτοι ἐν* Halley.

ἄλληλος ἄρα ἐστὶν ἡ ΛΗ τῇ ΒΓ. ἔστιν ἄρα, ὡς ἡ ΕΒ πρὸς τὴν ΒΛ, οὕτως ἐν παραλλήλῳ ἡ ΕΘ πρὸς τὴν ΘΗ. ἔστι δὲ καί, ὡς ἡ ΕΒ πρὸς τὴν ΒΛ, οὕτως ἐν παραλλήλῳ ἡ ΕΚ πρὸς τὴν ΚΖ· καὶ ὡς ἄρα ἡ ΕΚ πρὸς τὴν ΚΖ, οὕτως ἐστὶν ἡ ΕΘ πρὸς τὴν ΘΗ. παράλληλος ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΑΓ.

Διὰ δὲ τοῦ συνημμένου οὕτως· ἐπεί ἐστιν, ὡς ἡ ΑΖ πρὸς τὴν ΖΗ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, ἀνάπαλίν ἐστιν, ὡς ἡ ΗΖ πρὸς τὴν ΖΑ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΑ. συνθέντι καὶ ἐναλλὰξ καὶ ἀναστρέψαντί ἐστιν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΖ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΗ. ἀλλ' ὁ μὲν τῆς ΑΔ πρὸς τὴν ΔΖ συνῆπται ἔκ τε τοῦ τῆς ΑΒ πρὸς τὴν ΒΕ καὶ τοῦ τῆς ΕΚ πρὸς τὴν ΚΖ, ὁ δὲ τῆς ΑΓ πρὸς τὴν ΓΗ ἔκ τε τοῦ τῆς ΑΒ πρὸς τὴν ΒΕ καὶ τοῦ τῆς ΕΘ πρὸς τὴν ΘΗ· ὁ ἄρα συνημμένος λόγος ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΑΒ πρὸς τὴν ΒΕ, καὶ ἡ ΕΚ πρὸς τὴν ΚΖ, ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΑΒ πρὸς τὴν ΒΕ, καὶ ἡ ΕΘ πρὸς τὴν ΘΗ. καὶ κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΑΒ πρὸς τὴν ΒΕ λόγος· λοιπὸν ἄρα ὁ τῆς ΕΚ πρὸς τὴν ΚΖ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΕΘ πρὸς τὴν ΘΗ. παράλληλος ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΑΓ.

Εἰς τὸ δεύτερον πόρισμα.

β'. Καταγραφὴ ἡ ΑΒΓΔΕΖΗΘ, ἔστω δὲ παράλληλος ἡ ΑΖ τῇ ΔΒ, ὡς δὲ ἡ ΑΕ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΓΗ πρὸς τὴν ΗΖ· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν Θ, Κ, Ζ.

ἤχθω διὰ τοῦ Η παρὰ τὴν ΔΕ ἡ ΗΛ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΚ ἐκβεβλήσθω ἐπὶ τὸ Λ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΕ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΓΗ πρὸς τὴν ΗΖ, ἐναλλάξ ἐστιν, ὡς ἡ ΑΕ πρὸς τὴν ΓΗ,

---

2. *ἡ ΕΘ* — 3. *παραλλήλῳ*] addidi, om. cod., *ἡ ΕΚ πρὸς τὴν ΚΖ καὶ ἡ ΕΘ πρὸς τὴν ΘΗ· καὶ ὡς ἄρα κτλ.* Hultsch cum Commandino. 12. *ΑΒ* — 14. *τοῦ τῆς*] addidi; om. cod., Hultsch.

οὕτως ἡ *EZ* πρὸς τὴν *ZH*. ὡς δὲ ἡ *AE* πρὸς τὴν *ΓH*, οὕτως ἡ *EΘ* πρὸς τὴν *HΔ*· καὶ ὡς ἀρα ἡ *EZ* πρὸς τὴν



ZH, οὕτως ἡ *EΘ* πρὸς τὴν *HΔ*. καί ἐστι παράλληλος ἡ *EΘ* τῇ *HΔ*· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν *Θ*, *Λ*, *Z*· ὅπερ ἔδει δεῖξαι.

γ'. Εἰς τρεῖς εὐθείας τὰς *AB*, *ΓA*, *ΔA* διήχθωσαν δύο εὐθεῖαι αἱ *ΘE*, *ΘΔ*· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ *ΘE*, *HZ* πρὸς τὸ ὑπὸ *ΘH*, *ZE*, οὕτως τὸ ὑπὸ *ΘB*, *ΔΓ* πρὸς τὸ ὑπὸ *ΘΔ*, *BΓ*.



ἤχθω διὰ μὲν τοῦ *Θ* τῇ *ZΓA* παράλληλος ἡ *KΛ*, καὶ αἱ *ΔA*, *AB* συμπιπτέτωσαν αὐτῇ κατὰ τὰ *K*, *Λ* σημεῖα, διὰ δὲ τοῦ *Λ* τῇ *ΔA* παράλληλος ἡ *ΛM* καὶ συμπιπτέτω τῇ *EΘ* ἐπὶ τὸ *M*.

2. Post *HΛ* add. *καὶ ἐναλλὰξ διὰ τὸ εἶναι δύο παρὰ δύο* in ras. cod., *διὰ τὸ εἶναι δύο παρὰ δύο καὶ ἐναλλάξ* Hultsch; ego delere malui ut duo glossemata prauo ordine in textum illata. 4. Post Z add. *τουτέστιν ἡ διὰ τῶν Θ K Z* Hultsch. 5. *ὅπερ*

ἐπεὶ οὖν ἐστιν, ὡς μὲν ἡ EZ πρὸς τὴν ZΔ, οὕτως ἡ EΘ πρὸς τὴν ΘΔ, ὡς δὲ ἡ ΔZ πρὸς τὴν ZH, οὕτως ἡ ΘΔ πρὸς τὴν ΘM· καὶ γὰρ ἡ ΘK πρὸς τὴν ΘH ἐν παραλλήλῳ· δι' ἴσου ἄρα ἐστίν, ὡς ἡ EZ πρὸς τὴν ZH, οὕτως ἡ EΘ πρὸς τὴν ΘM. τὸ ἄρα ὑπὸ τῶν ΘE, HZ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν EZ. ΘM. ἄλλο δέ τι τυχὸν τὸ ὑπὸ τῶν EZ. ΘH· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ τῶν EΘ, HZ πρὸς τὸ ὑπὸ τῶν EZ. HΘ, οὕτως τὸ ὑπὸ EZ. ΘM πρὸς τὸ ὑπὸ EZ, HΘ, τουτέστιν ἡ ΘM πρὸς ΘH, τουτέστιν ἡ ΔΘ πρὸς τὴν ΘK. κατὰ τὰ αὐτὰ καί, ὡς ἡ KΘ πρὸς τὴν ΘΔ, οὕτως τὸ ὑπὸ ΘΔ, BΓ πρὸς τὸ ὑπὸ ΘB. ΓΔ· ἀνάπαλιν ἄρα γίνεται, ὡς ἡ ΔΘ πρὸς τὴν ΘK, οὕτως τὸ ὑπὸ ΘB, ΓΔ πρὸς τὸ ὑπὸ ΘΔ, BΓ. ὡς δὲ ἡ ΔΘ πρὸς τὴν ΘK, οὕτως ἐδείχθη τὸ ὑπὸ EΘ. HZ πρὸς τὸ ὑπὸ EZ, HΘ· καὶ ὡς ἄρα τὸ ὑπὸ EΘ, HZ πρὸς τὸ ὑπὸ EZ. HΘ, οὕτως τὸ ὑπὸ ΘB. ΓΔ πρὸς τὸ ὑπὸ ΘΔ. BΓ.



Διὰ δὲ τοῦ συνημμένου οὕτως· ἐπεὶ ὁ τοῦ ὑπὸ ΘE, HZ πρὸς τὸ ὑπὸ ΘH. ZE συνῆπται λόγος ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΘE πρὸς τὴν EZ. καὶ τοῦ, ὃν ἔχει ἡ ZH πρὸς τὴν HΘ, καί ἐστιν, ὡς μὲν ἡ ΘE πρὸς τὴν EZ. οὕτως ἡ ΘΔ πρὸς τὴν ZΔ, ὡς δὲ ἡ ZH πρὸς τὴν HΘ, οὕτως ἡ ZΔ πρὸς

ἐδει δεῖξαι] o cod., ὅπερ:~ Hultsch cum aliis. p. 245, 18 ἡ ΔM καί] „fortasse διαχθεῖσα ἡ ΔM" Hultsch. 3. ἐν παραλλήλῳ] h. e. quia inter duas parallelas sunt, u. Hultsch in ind. s. u. παράλληλος. 26. ὁ] om. cod., Hultsch.

τὴν ΘΚ, το ἄρα ὑπὸ ΘΕ, ΗΖ προς το ὑπὸ ΘΗ, ΕΖ συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΘΛ πρὸς τὴν ΖΑ, καὶ τοῦ ὃν ἔχει ἡ ΖΑ πρὸς τὴν ΘΚ. ὁ δὲ συνημμένος ἔκ τε τοῦ τῆς ΘΛ πρὸς τὴν ΖΑ καὶ τοῦ τῆς ΖΑ πρὸς τὴν ΘΚ ὁ αὐτός ἐστιν τῷ τῆς ΘΛ πρὸς τὴν ΘΚ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΘΕ, ΗΖ πρὸς τὸ ὑπὸ ΘΗ, ΖΕ, οὕτως ἡ ΘΛ πρὸς τὴν ΘΚ. διὰ ταὐτὰ καί, ὡς τὸ ὑπὸ ΘΔ, ΒΓ πρὸς τὸ ὑπὸ ΘΒ, ΓΔ, οὕτως ἐστὶν ἡ ΘΚ πρὸς τὴν ΘΛ. καὶ ἀνάπαλίν ἐστιν, ὡς τὸ ὑπὸ ΘΒ, ΓΔ πρὸς τὸ ὑπὸ ΘΔ, ΒΓ, οὕτως ἡ ΘΛ πρὸς τὴν ΘΚ. ἦν δὲ καί, ὡς τὸ ὑπὸ τῶν ΘΕ, ΖΗ πρὸς τὸ ὑπὸ ΘΗ, ΖΕ, οὕτως ἡ ΘΛ πρὸς τὴν ΘΚ· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν ΘΕ, ΖΗ πρὸς τὸ ὑπὸ ΘΗ, ΖΕ, οὕτως τὸ ὑπὸ ΘΒ, ΓΔ πρὸς τὸ ὑπὸ ΘΔ, ΒΓ.

δ΄. Καταγραφὴ ἡ ΑΒΓΔΕΖΗΘΚΛ, ἔστω δέ, ὡς τὸ ὑπὸ ΑΖ, ΒΓ πρὸς τὸ ὑπὸ ΑΒ, ΓΖ, οὕτως τὸ ὑπὸ ΑΖ, ΔΕ πρὸς τὸ ὑπὸ ΑΔ, ΕΖ· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν Θ, Η, Ζ σημείων.

ἐπεί ἐστιν, ὡς τὸ ὑπὸ ΑΖ, ΒΓ πρὸς τὸ ὑπὸ ΑΒ, ΓΖ, οὕτως τὸ ὑπὸ ΑΖ, ΔΕ πρὸς τὸ ὑπὸ ΑΔ, ΕΖ, ἐναλλάξ ἐστιν, ὡς τὸ ὑπὸ ΑΖ, ΒΓ πρὸς τὸ ὑπὸ ΑΖ, ΔΕ, τουτέστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΔΕ, οὕτως τὸ ὑπὸ ΑΒ, ΓΖ πρὸς τὸ ὑπὸ ΑΔ, ΕΖ. ἀλλ᾽ ὁ μὲν τῆς ΒΓ πρὸς τὴν ΔΕ συνῆπται λόγος, ἐὰν διὰ τοῦ Κ τῇ ΑΖ παράλληλος ἀχθῇ ἡ ΚΜ, ἔκ τε τοῦ τῆς ΒΓ πρὸς ΚΝ καὶ τῆς ΚΝ πρὸς ΚΜ καὶ ἔτι τοῦ τῆς ΚΜ πρὸς ΔΕ, ὁ δὲ τοῦ ὑπὸ ΑΒ, ΓΖ πρὸς τὸ ὑπὸ ΑΔ, ΕΖ συνῆπται ἔκ τε τοῦ τῆς ΒΑ πρὸς ΑΔ καὶ τοῦ τῆς ΓΖ πρὸς τὴν ΖΕ. κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΒΑ πρὸς ΑΔ ὁ αὐτὸς ὢν τῷ τῆς ΝΚ πρὸς ΚΜ· λοιπὸν ἄρα ὁ τῆς ΓΖ πρὸς τὴν ΖΕ συνῆπται ἔκ τε τοῦ τῆς ΒΓ πρὸς τὴν ΚΝ, τουτέστιν τοῦ τῆς ΘΓ πρὸς τὴν ΚΘ, καὶ τοῦ τῆς ΚΜ πρὸς τὴν ΔΕ, τουτέστιν τοῦ τῆς ΚΗ πρὸς τὴν ΗΕ. εὐθεῖα ἄρα ἡ διὰ τῶν Θ, Η, Ζ.

ἐὰν γὰρ διὰ τοῦ Ε τῇ ΘΓ παράλληλον ἀγάγω τὴν ΕΞ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΗ ἐκβληθῇ ἐπὶ τὸ Ξ, ὁ μὲν τῆς ΚΗ πρὸς τὴν ΗΕ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΚΘ πρὸς τὴν ΕΞ, ὁ δὲ συνημμένος ἔκ τε τοῦ τῆς ΓΘ πρὸς τὴν ΘΚ καὶ τοῦ τῆς ΘΚ πρὸς τὴν ΕΞ μεταβαλλόμενος εἰς τὸν τῆς ΘΓ πρὸς ΕΞ λόγον, καὶ ὁ τῆς ΓΖ πρὸς ΖΕ λόγος ὁ αὐτὸς τῷ τῆς ΓΘ πρὸς τὴν ΕΞ παραλλήλου οὔσης τῆς ΓΘ τῇ ΕΞ· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Θ, Ξ, Ζ· τοῦτο γὰρ φανερόν· ὥστε καὶ ἡ διὰ τῶν Θ, Η, Ζ εὐθεῖά ἐστιν.

ε΄. Ἐὰν ᾖ καταγραφὴ ἡ ΑΒΓΔΕΖΗΘ, γίνεται, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ. ἔστω οὖν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν Α, Η, Θ.



ἤχθω διὰ τοῦ Η τῇ ΑΔ παράλληλος ἡ ΚΛ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΓ, ἀλλ' ὡς μὲν ἡ ΑΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΚΛ πρὸς τὴν ΛΗ, ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΚΗ πρὸς τὴν ΗΜ, καὶ ὡς ἄρα ἡ ΚΛ πρὸς τὴν ΛΗ, οὕτως ἡ ΚΗ πρὸς τὴν ΗΜ, καὶ λοιπὴ ἡ ΗΛ πρὸς λοιπὴν τὴν ΛΜ ἐστιν, ὡς ἡ ΚΛ πρὸς τὴν ΛΗ, τουτέστιν ὡς ἡ ΑΔ

2. *ἐπιζευχθεῖσα ἡ ΘΗ*] *ἐπιζευχθείσης τῆς ΘΗ* cod., quod fortasse retineri potest. 5. *μεταβάλλεται* Hultsch cum Commandino.

πρὸς τὴν ΔΓ. ἐναλλάξ ἐστιν, ὡς ἡ ΑΔ πρὸς τὴν ΗΔ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΜ, τουτέστιν ἡ ΔΘ πρὸς ΘΔ. καί ἐστι παράλληλος ἡ ΗΔ τῇ ΑΔ· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Α, Η, Θ σημείων· τοῦτο γὰρ φανερόν.

ς'. Πάλιν, ἐὰν ᾖ καταγραφή, καὶ παράλληλος ἡ ΔΖ τῇ ΒΓ, γίνεται ἴση ἡ ΑΒ τῇ ΒΓ. ἔστω οὖν ἴση· ὅτι παράλληλος.

ἔστιν δέ· ἐὰν γὰρ τῇ ΕΒ προσθῶ τῇ ΗΒ ἴσην τὴν ΒΘ καὶ ἐπιζεύξω τὰς ΑΘ, ΘΓ, γίνεται παραλληλόγραμμον τὸ ΑΘΓΗ, καὶ διὰ τοῦτό ἐστιν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΕ· ἑκάτερος γὰρ τῶν εἰρημένων ὁ αὐτός ἐστιν τῷ τῆς ΘΗ πρὸς τὴν ΗΕ λόγῳ· ὥστε παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΑΓ.





ζ'. Ἔστω καταγραφή, καὶ τῶν ΔΒ, ΒΓ μέση ἀνάλογον ἔστω ἡ ΒΑ· ὅτι παράλληλός ἐστιν ἡ ΖΗ τῇ ΑΓ.

ἐκβεβλήσθω ἡ ΕΒ, καὶ διὰ τοῦ Α τῇ ΔΖ εὐθείᾳ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ ἐπεξεύχθω ἡ ΓΚ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΓΒ πρὸς τὴν ΒΑ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ, ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως ἡ ΚΒ

3. ΑΔ] Commandinus, ΔΘ cod.; fort. ΔΒ. 8. τῇ ΕΒ προσθῶ] τὴν ΕΒ θῶ cod., θῶ Commandinus, ἐπὶ τῆς ΕΒ θῶ Hultsch. 11. ἑκάτερος] ἑκατερα cod., ἑκατέρων Hultsch 13. λόγῳ] λόγον cod., λόγος Hultsch.

πρὸς τὴν $B\Theta$, καὶ ὡς ἄρα ἡ ΓB πρὸς τὴν BA, οὕτως ἡ KB πρὸς τὴν $B\Theta$· παράλληλος ἄρα ἐστὶν ἡ $A\Theta$ τῇ $K\Gamma$. ἔστιν οὖν πάλιν, ὡς ἡ AZ πρὸς τὴν ZE, οὕτως ἡ ΓH πρὸς τὴν HE· ἑκάτερος γὰρ τῶν εἰρημένων λόγος ὁ αὐτός ἐστιν τῷ τῆς $K\Theta$ πρὸς τὴν ΘE· ὥστε παράλληλός ἐστιν ἡ ZH τῇ $A\Delta$.

η'. Ἔστω βωμίσκος ὁ $AB\Gamma\Delta EZH$, καὶ ἔστω παράλληλος ἡ μὲν ΔE τῇ $B\Gamma$, ἡ δὲ EH τῇ BZ· ὅτι καὶ ἡ ΔZ τῇ ΓH παράλληλός ἐστιν.

ἐπεζεύχθωσαν αἱ BE, $\Delta\Gamma$, ZH· ἴσον ἄρα ἐστὶν τὸ ΔBE τρίγωνον τῷ $\Delta\Gamma E$ τριγώνῳ. κοινὸν προσκείσθω τὸ ΔAE τρίγωνον· ὅλον ἄρα τὸ ABE τρίγωνον ὅλῳ τῷ $\Gamma\Delta A$ τριγώνῳ ἴσον ἐστίν. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ BZ τῇ EH, ἴσον ἐστὶν τὸ BZE τρίγωνον τῷ BZH τριγώνῳ. κοινὸν ἀφῃρήσθω τὸ ABZ τρίγωνον· λοιπὸν ἄρα τὸ ABE τρίγωνον λοιπῷ τῷ AHZ τριγώνῳ ἴσον ἐστίν. ἀλλὰ τὸ ABE τρίγωνον τῷ $A\Gamma\Delta$ τριγώνῳ ἐστὶν ἴσον· καὶ τὸ $A\Gamma\Delta$ ἄρα τρίγωνον τῷ AZH τριγώνῳ ἴσον ἐστίν. κοινὸν προσκείσθω τὸ $A\Gamma H$ τρίγωνον· ὅλον ἄρα τὸ $\Gamma\Delta H$ τρίγωνον ὅλῳ τῷ ΓZH τριγώνῳ ἴσον ἐστίν. καί ἐστιν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΓH· παράλληλος ἄρα ἐστὶν ἡ ΓH τῇ ΔZ.



θ'. Ἔστω τρίγωνον τὸ $AB\Gamma$, καὶ ἐν αὐτῷ διήχθωσαν αἱ $A\Delta$, AE, καὶ τῇ $B\Gamma$ παράλληλος ἤχθω ἡ ZH, καὶ

4. ἑκάτερος] ἑκατέρα cod., ἑκατέρων Hultsch. 6. $A\Delta$] $A\Gamma$ Breton, Hultsch. 18. ἡ BZ τῇ EH] τῇ BZ ἡ EH suspicatur Hultsch.

κεκλάσθω ἡ ΖΘΗ, ἔστω δέ, ὡς ἡ ΒΘ πρὸς τὴν ΘΓ, οὕτως ἡ ΔΘ πρὸς τὴν ΘΕ· ὅτι παράλληλός ἐστιν ἡ ΚΛ τῇ ΒΓ.

ἐπεὶ γάρ ἐστιν, ὡς ἡ ΒΘ πρὸς τὴν ΘΓ, οὕτως ἡ ΔΘ πρὸς τὴν ΘΕ, λοιπὴ ἄρα ἡ ΒΔ πρὸς λοιπὴν τὴν ΓΕ ἐστιν, ὡς ἡ ΔΘ πρὸς τὴν ΘΕ. ὡς δὲ ἡ ΒΔ πρὸς τὴν ΕΓ, οὕτως ἐστὶν ἡ ΖΜ πρὸς ΝΗ· καὶ ὡς ἄρα ἡ ΖΜ πρὸς ΝΗ, οὕτως ἐστὶν ἡ ΔΘ πρὸς τὴν ΘΕ. ἐναλλάξ ἐστιν, ὡς ἡ ΖΜ πρὸς τὴν ΔΘ, οὕτως ἡ ΝΗ πρὸς τὴν ΘΕ. ἀλλ' ὡς μὲν ἡ ΖΜ πρὸς τὴν ΔΘ, οὕτως ἐστὶν ἐν παραλλήλῳ ἡ ΖΚ πρὸς τὴν ΚΘ, ὡς δὲ ἡ ΗΝ πρὸς τὴν ΘΕ, οὕτως ἐστὶν ἡ ΗΛ πρὸς τὴν ΛΘ· καὶ ὡς ἄρα ἡ ΖΚ πρὸς τὴν ΚΘ, οὕτως ἐστὶν ἡ ΗΛ πρὸς τὴν ΛΘ. παράλληλος ἄρα ἐστὶν ἡ ΚΛ τῇ ΗΖ· ὥστε καὶ τῇ ΓΒ.



ι'. Εἰς δύο εὐθείας τὰς ΒΑΕ, ΔΑΗ ἀπὸ τοῦ Θ σημείου δύο διήχθωσαν εὐθεῖαι αἱ ΔΘ, ΘΕ, ἔστω δέ, ὡς τὸ ὑπὸ τῶν ΔΘ, ΒΓ πρὸς τὸ ὑπὸ ΔΓ, ΒΘ, οὕτως τὸ ὑπὸ ΘΗ, ΖΕ πρὸς τὸ ὑπὸ ΘΕ, ΖΗ· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν Γ, Α, Ζ.

ἤχθω διὰ τοῦ Θ τῇ ΓΑ παράλληλος ἡ ΚΛ καὶ συμπιπτέτω ταῖς ΑΒ, ΑΔ κατὰ τὰ Κ, Λ σημεῖα, καὶ διὰ τοῦ Λ τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΛΜ, καὶ ἐκβεβλήσθω ἡ ΕΘ ἐπὶ τὸ Μ, διὰ δὲ τοῦ Κ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΚΝ, καὶ ἐκβεβλήσθω ἡ ΔΘ ἐπὶ τὸ Ν.

ἐπεὶ οὖν διὰ τὰς παραλλήλους γίνεται, ὡς ἡ ΔΘ πρὸς τὴν ΘΝ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΒ, τὸ ἄρα ὑπὸ τῶν ΔΘ, ΓΒ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΔΓ, ΘΝ. ἄλλο

δέ τι τυχὸν τὸ ὑπὸ ΔΓ, ΒΘ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΔΘ, ΒΓ πρὸς τὸ ὑπὸ ΔΓ, ΒΘ, οὕτως τὸ ὑπὸ ΓΔ, ΘΝ πρὸς τὸ ὑπὸ ΔΓ, ΒΘ, τουτέστιν ἡ ΘΝ πρὸς ΘΒ. ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΘΔ, ΒΓ πρὸς τὸ ὑπὸ ΔΓ, ΒΘ, ὑπόκειται τὸ ὑπὸ ΘΗ, ΖΕ πρὸς τὸ ὑπὸ ΘΕ, ΖΗ, ὡς δὲ ἡ ΘΝ πρὸς ΘΒ, οὕτως ἡ ΚΘ πρὸς ΘΔ, τουτέστιν ἐν παραλλήλῳ ἡ ΗΘ πρὸς τὴν ΘΜ, τουτέστιν τὸ ὑπὸ ΘΗ, ΖΕ



πρὸς τὸ ὑπὸ ΘΜ, ΖΕ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΘΗ, ΖΕ πρὸς τὸ ὑπὸ ΘΕ, ΖΗ, οὕτως ἐστὶν τὸ ὑπὸ ΘΗ, ΖΕ πρὸς τὸ ὑπὸ ΘΜ, ΖΕ. ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ ΘΕ, ΖΗ τῷ ὑπὸ ΘΜ, ΖΕ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΘΜ πρὸς τὴν ΘΕ, οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ, συνθέντι καὶ ἐναλλάξ ἐστιν, ὡς ἡ ΜΕ πρὸς τὴν ΕΗ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΕΖ. ἀλλ' ὡς ἡ ΜΕ πρὸς τὴν ΕΗ, οὕτως ἐστὶν ἡ ΛΕ πρὸς τὴν ΕΔ· καὶ ὡς ἄρα ἡ ΛΕ πρὸς τὴν ΕΔ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΕΖ· παράλληλος ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΚΔ. ἀλλὰ καὶ ἡ ΓΑ· εὐθεῖα ἄρα ἐστὶν ἡ ΓΑΖ· ὅπερ ἔδει δεῖξαι.

---

10. τὸ ὑπὸ ΘΕ — 11. ἐστιν] om. cod., τὸ ὑπὸ ΘΕ ΖΗ τῷ ὑπὸ ΘΜ ΖΕ καὶ Hultsch cum Commandino. 11. ὡς] ὡς ἄρα Hultsch cum Commandino. 17. ΓΑΖ· ὅπερ ἔδει δεῖξαι] ΓΑΖΟ ο cod.; ΓΑΖ, ὅπερ: ~ Hultsch.

τὰ δὲ πτωτικὰ αὐτοῦ ὁμοίως τοῖς προγεγραμμένοις, ὧν ἐστιν ἀναστρόφιον.

ια'. Τρίγωνον τὸ ΑΒΓ, καὶ τῇ ΒΓ παράλληλος ἡ ΑΔ, καὶ διαχθεῖσα ἡ ΔΕ τῇ ΒΓ συμπιπτέτω κατὰ τὸ Ε σημεῖον· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ ΔΕ, ΖΗ πρὸς τὸ ὑπὸ ΕΖ, ΗΔ, οὕτως ἡ ΓΒ πρὸς τὴν ΒΕ.

ἤχθω διὰ τοῦ Γ τῇ ΔΕ παράλληλος ἡ ΓΘ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Θ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΓΑ πρὸς τὴν ΑΗ, οὕτως ἡ ΓΘ πρὸς τὴν ΖΗ, ὡς δὲ ἡ ΓΑ πρὸς τὴν ΑΗ, οὕτως ἐστὶν



ἡ ΕΔ πρὸς τὴν ΔΗ. καὶ ὡς ἄρα ἡ ΕΔ πρὸς τὴν ΔΗ, οὕτως ἐστὶν ἡ ΘΓ πρὸς τὴν ΖΗ· τὸ ἄρα ὑπὸ τῶν ΓΘ, ΔΗ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΕΔ, ΖΗ. ἄλλο δέ τι τυχὸν τὸ ὑπὸ ΕΖ, ΗΔ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΔΕ, ΖΗ πρὸς τὸ ὑπὸ ΔΗ, ΕΖ, οὕτως τὸ ὑπὸ ΓΘ, ΔΗ πρὸς τὸ ὑπὸ ΔΗ, ΕΖ, τουτέστιν ἡ ΓΘ πρὸς ΕΖ, τουτέστιν ἡ ΓΒ πρὸς ΒΕ. ἔστιν οὖν, ὡς τὸ ὑπὸ ΔΕ, ΖΗ πρὸς τὸ ὑπὸ ΕΖ, ΗΔ, οὕτως ἡ ΓΒ πρὸς ΒΕ.

τὰ δ' αὐτά, κἂν ἐπὶ τὰ ἕτερα μέρη ἀχθῇ ἡ ΑΔ παρ-

ἄλληλος, καὶ ἀπὸ τοῦ Δ ἐκτὸς ὡς ἐπὶ τὸ Γ διαχθῇ ἡ εὐθεῖα.

ιβ'. Ἀποδεδειγμένων οὖν τούτων ἔσται δεῖξαι, ὅτι, ἐὰν παράλληλοι ὦσιν αἱ AB, $\Gamma\Delta$, καὶ εἰς αὐτὰς ἐμπίπτωσιν εὐθεῖαί τινες αἱ $A\Delta$, AZ, $B\Gamma$, BZ, καὶ ἐπιζευχθῶσιν αἱ $E\Delta$, $E\Gamma$, [ὅτι] γίνεται εὐθεῖα ἡ διὰ τῶν H, M, K.

ἐπεὶ γὰρ τρίγωνον τὸ ΔAZ, καὶ τῇ ΔZ παράλληλος ἡ AE, καὶ διῆκται ἡ $E\Gamma$ συμπίπτουσα τῇ ΔZ κατὰ τὸ



Γ, διὰ τὸ προγεγραμμένον γίνεται, ὡς ἡ ΔZ πρὸς τὴν $Z\Gamma$, οὕτως τὸ ὑπὸ ΓE, $H\Theta$ πρὸς τὸ ὑπὸ ΓH, ΘE. πάλιν, ἐπεὶ τρίγωνόν ἐστιν τὸ ΓBZ, καὶ τῇ $\Gamma\Delta$ παράλληλος ἦκται ἡ BE, καὶ διῆκται ἡ ΔE συμπίπτουσα τῇ $\Gamma Z\Delta$ κατὰ τὸ Δ, γίνεται, ὡς ἡ ΓZ πρὸς τὴν $Z\Delta$, οὕτως τὸ ὑπὸ ΔE, ΔK πρὸς τὸ ὑπὸ ΔK, ΔE· ἀνάπαλιν ἄρα γίνεται, ὡς ἡ ΔZ πρὸς τὴν $Z\Gamma$, οὕτως τὸ ὑπὸ ΔK, ΔE πρὸς τὸ ὑπὸ ΔE, ΔK. ἦν δὲ καί, ὡς ἡ ΔZ πρὸς τὴν $Z\Gamma$, οὕτως τὸ ὑπὸ ΓE, $H\Theta$ πρὸς τὸ ὑπὸ ΓH,

---

1. ὡς ἐπὶ τὸ Γ] τοῦ Γ ὡς ἐπὶ τὸ Γ Commandinus, τοῦ Γ Hultsch. διαχθῇ ἡ εὐθεῖα] διὰ τὴν εὐθεῖαν cod., ἀχθῇ ἡ ΔE Hultsch cum Commandino. 3. οὖν] coni. Hultsch, νῦν cod. 6. ὅτι] uncis incl. Hultsch. 10. προγεγραμμένον] lemma XI.

ΘΕ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΓΕ, ΗΘ πρὸς τὸ ὑπὸ ΓΗ, ΘΕ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΚ, ΔΕ πρὸς τὸ ὑπὸ ΔΕ, ΚΛ. ἐπεὶ οὖν εἰς δύο εὐθείας τὰς ΓΜΛ, ΘΜΔ δύο εὐθεῖαι διηγμέναι εἰσὶν αἱ ΕΓ, ΕΔ, καί ἐστιν, ὡς τὸ ὑπὸ ΓΕ, ΗΘ πρὸς τὸ ὑπὸ ΓΗ, ΘΕ, οὕτως τὸ ὑπὸ ΔΚ, ΕΛ πρὸς τὸ ὑπὸ ΔΕ, ΔΚ, εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Η, Μ, Κ· τοῦτο γὰρ προδέδεικται.

ιγ΄. Ἀλλὰ δὴ μὴ ἔστωσαν αἱ ΑΒ, ΓΔ παράλληλοι, ἀλλὰ συμπιπτέτωσαν κατὰ τὸ Ν· ὅτι πάλιν εὐθεῖά ἐστιν ἡ διὰ τῶν Η, Μ, Κ.



ἐπεὶ εἰς τρεῖς εὐθείας τὰς ΑΝ, ΑΖ, ΑΔ ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Γ δύο διηγμέναι εἰσὶν αἱ ΓΕ ΓΔ, γίνεται, ὡς τὸ ὑπὸ ΓΕ, ΗΘ πρὸς τὸ ὑπὸ ΓΗ, ΘΕ, οὕτως τὸ ὑπὸ τῶν ΓΝ, ΖΔ πρὸς τὸ ὑπὸ τῶν ΝΔ, ΓΖ. πάλιν ἐπεὶ ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Δ εἰς τρεῖς εὐθείας τὰς ΒΝ, ΒΓ, ΒΖ δύο εἰσὶν διηγμέναι αἱ ΔΕ, ΔΝ, ἔστιν, ὡς τὸ ὑπὸ ΝΓ, ΖΔ πρὸς τὸ ὑπὸ ΝΔ, ΖΓ, οὕτως τὸ ὑπὸ ΔΚ, ΕΛ πρὸς τὸ ὑπὸ ΔΕ, ΚΛ. ἀλλ' ὡς τὸ ὑπὸ ΝΓ, ΖΔ πρὸς τὸ ὑπὸ ΝΔ, ΓΖ, οὕτως ἐδείχθη τὸ ὑπὸ ΓΕ, ΗΘ πρὸς τὸ ὑπὸ ΓΗ, ΘΕ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΓΕ, ΘΗ πρὸς τὸ ὑπὸ ΓΗ, ΘΕ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΚ, ΕΛ πρὸς τὸ ὑπὸ ΔΕ, ΚΛ. διὰ δὴ τὸ προγεγραμμένον εὐθεῖά ἐστιν ἡ διὰ τῶν Η, Μ, Κ.

3. Ante *ἐπεὶ* add. *ἀνῆκται εἰς τὸ πρὸ ἑνός* cod., uncis incl. Hultsch (*ἀπῆκται* suspicatur idem III p. 1263). *ΓΜΛ, ΘΜΔ*] *ΓΜΔ* cod., *ΓΜΛ ΔΜΘ* Hultsch cum Commandino. 7. *προδέδεικται*] lemma X. 29. Ante *διὰ* add. *ἀπῆκται εἰς ὃ καὶ ἐπὶ τῶν παραλλήλων* cod., uncis incl. Hultsch. *προγεγραμμένον*] lemma X.

ιδ'. Ἔστω παράλληλος ἡ AB τῇ $\Gamma\Delta$, καὶ διήχθωσαν αἱ AE, ΓB, καὶ σημεῖον ἐπὶ τῆς BH τὸ Z, ὥστε εἶναι, ὡς τὴν ΔE πρὸς τὴν $E\Gamma$, οὕτως τὸ ὑπὸ ΓB, HZ πρὸς τὸ ὑπὸ ZB, ΓH· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν A, Z, Δ. ἤχθω διὰ μὲν τοῦ Δ τῇ $B\Gamma$ παράλληλος ἡ $\Delta\Theta$, καὶ ἐκβεβλήσθω ἡ AE ἐπὶ τὸ Θ, διὰ δὲ τοῦ Θ τῇ $\Gamma\Delta$ παράλληλος ἡ ΘK, καὶ ἐκβεβλήσθω ἡ $B\Gamma$ ἐπὶ τὸ K.



ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΔE πρὸς τὴν $E\Gamma$, οὕτως τὸ ὑπὸ ΓB, ZH πρὸς τὸ ὑπὸ BZ, ΓH, ὡς δὲ ἡ ΔE πρὸς τὴν $E\Gamma$, οὕτως ἐστὶν ἥ τε $\Delta\Theta$ πρὸς τὴν ΓH καὶ τὸ ὑπὸ $\Delta\Theta$, BZ πρὸς τὸ ὑπὸ τῶν ΓH, ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ τῶν $B\Gamma$, ZH τῷ ὑπὸ $\Delta\Theta$, BZ· ἀνάλογον ἄρα ἐστίν, ὡς ἡ ΓB πρὸς τὴν BZ, οὕτως ἡ $\Delta\Theta$, τουτέστιν ἡ ΓK, πρὸς τὴν HZ· καὶ ὅλη ἄρα ἡ KB πρὸς ὅλην τὴν BH ἐστιν, ὡς ἡ $K\Gamma$ πρὸς ZH, τουτέστιν ὡς ἡ $\Delta\Theta$ πρὸς ZH. ἀλλ' ὡς ἡ KB πρὸς BH ἐν παραλλήλῳ, οὕτως ἐστὶν ἡ ΘA πρὸς AH καὶ ἡ $\Delta\Theta$ πρὸς ZH. καί εἰσιν παράλληλοι αἱ $\Delta\Theta$, ZH· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν A, Z, Δ σημείων.

ιε'. Τούτου προτεθεωρημένου ἔστω παράλληλος ἡ AB τῇ $\Gamma\Delta$, καὶ εἰς αὐτὰς ἐμπιπτέτωσαν εὐθεῖαι αἱ AZ, ZB, ΓE, $E\Delta$, καὶ ἐπεζεύχθωσαν αἱ $B\Gamma$, HK· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν A, M, Δ.

Ἐπεζεύχθω ἡ ΔM καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Θ.

ἐπεὶ οὖν τριγώνου τοῦ $B\Gamma Z$ ἐκτὸς ἀπὸ τῆς κορυφῆς

---

11. BZ, ΓH] $B\Gamma$, ZH cod.; ZB ΓH Hultsch cum Commandino. 12. ἐστὶν] del. Hultsch. 18. τουτέστιν ἡ] coniecit Hultsch, τουτέστιν ὡς ἡ cod., πρὸς τὴν HZ τουτέστιν ὡς ἡ Hultsch. 29. ἐκτὸς] del. Hultsch cum Simsono, sed u. lemma XI extr.

τοῦ *B* σημείου τῇ *ΓΔ* παράλληλος ἦκται ἡ *BE*, καὶ διῆκται ἡ *ΔE*, γίνεται, ὡς ἡ *ΓZ* πρὸς *ZΔ*, οὕτως τὸ ὑπὸ *ΔE*, *KΛ* πρὸς τὸ ὑπὸ *EΛ*, *KΔ*. ὡς δὲ τὸ ὑπὸ *ΔE*, *KΛ* πρὸς τὸ ὑπὸ *ΔK*, *ΛE*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΓH*, *ΘE* πρὸς τὸ ὑπὸ *ΓE*, *HΘ*, ἐπεὶ εἰς τρεῖς εὐθείας τὰς *ΓΔ*, *ΔΘ*, *HK* δύο εἰσὶν διηγμέναι ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ *E* αἱ *EΓ*, *EΔ*· καὶ ὡς ἄρα ἡ *ΔZ* πρὸς *ZΓ*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΓE*, *HΘ* πρὸς τὸ ὑπὸ *ΓH*, *ΘE*. διὰ τὸ προγεγραμμένον ἄρα ἡ διὰ τῶν *A*, *M*, *Δ* ἐστιν εὐθεῖα.





ις'. Εἰς δύο εὐθείας τὰς *AB*, *AΓ* ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ *Δ* δύο διήχθωσαν αἱ *ΔB*, *ΔE*, καὶ ἐπ' αὐτῶν εἰλήφθω σημεῖα τὰ *H*, *Θ*, ἔστω δέ, ὡς τὸ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *HZ*, οὕτως τὸ ὑπὸ *BΘ*, *ΓΔ* πρὸς τὸ ὑπὸ *BΔ*, *ΓΘ*· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν *A*, *H*, *Θ*.

ἤχθω διὰ τοῦ *H* τῇ *BΔ* παράλληλος ἡ *KΛ*.

ἐπεὶ οὖν ἐστιν, ὡς τὸ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *ZH*, οὕτως τὸ ὑπὸ *BΘ*, *ΓΔ* πρὸς τὸ ὑπὸ *BΔ*, *ΓΘ*, ἀλλὰ ὁ τοῦ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *HZ* συνῆπται

---

5. ἐπεὶ εἰς] εἰς cod., εἰς γὰρ Hultsch cum Commandino. 8. Ante διὰ add. καὶ ἔστιν εὐθεῖα ἡ διὰ τῶν *HMK* cod. (etiam p. 256, 27 pro *A*, *M*, *Δ* hab. *H*, *M*, *K*), καὶ ἔστιν εὐθεῖα ἡ διὰ τῶν *Θ*, *M*, *Δ* Hultsch praeeunte Commandino. 9. προγεγραμμένον] lemma XIV. ἄρα] ἄρα καὶ cod., Hultsch.

λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΗΕ πρὸς ΕΔ, τουτέστιν ἡ ΚΗ πρὸς ΒΔ, καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΔΖ πρὸς ΖΗ, τουτέστιν ἡ ΓΔ πρὸς τὴν ΗΔ, ὁ δὲ τοῦ ὑπὸ ΒΘ, ΓΔ πρὸς τὸ ὑπὸ ΒΔ, ΓΘ συνῆπται λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΘΒ πρὸς ΒΔ καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΘ, καὶ ὁ ἔκ τε τοῦ τῆς ΚΗ ἄρα πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΓΘ. ὁ δὲ τῆς ΚΗ πρὸς ΒΔ συνῆπται ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΒΘ πρὸς ΒΔ· ὁ ἄρα συνημμένος ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ ἔτι τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΓΘ. κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΘΒ πρὸς ΒΔ λόγος· λοιπὸς ἄρα ὁ συνημμένος ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ τῆς ΔΓ πρὸς τὴν ΓΘ, τουτέστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΔΓ πρὸς τὴν ΗΔ καὶ τοῦ τῆς ΗΔ πρὸς τὴν ΘΓ. καὶ πάλιν κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΔΓ πρὸς τὴν ΗΔ λόγος· λοιπὸς ἄρα ὁ τῆς ΚΗ πρὸς τὴν ΒΘ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΗΔ πρὸς τὴν ΘΓ. καὶ ἐναλλάξ ἐστιν, ὡς ἡ ΚΗ πρὸς τὴν ΗΔ, οὕτως ἡ ΒΘ πρὸς τὴν ΘΓ. καί εἰσιν αἱ ΚΔ, ΒΓ παράλληλοι· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Α, Η, Θ σημείων.

ιξ'. Ἀλλὰ δὴ μὴ ἔστω παράλληλος ἡ ΑΒ τῇ ΓΔ, ἀλλὰ συμπιπτέτω κατὰ τὸ Ν.

ἐπεὶ οὖν ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Δ εἰς τρεῖς εὐθείας τὰς ΒΝ, ΒΓ, ΒΖ δύο εὐθεῖαι διηγμέναι εἰσὶν αἱ ΔΕ, ΔΝ, ἔστιν, ὡς τὸ ὑπὸ ΝΔ, ΓΖ πρὸς τὸ ὑπὸ ΝΓ, ΔΖ, οὕτως τὸ ὑπὸ ΔΕ, ΚΔ πρὸς τὸ ὑπὸ ΕΔ, ΚΔ. ὡς δὲ τὸ ὑπὸ ΕΔ, ΚΔ πρὸς τὸ ὑπὸ ΕΔ, ΚΔ, οὕτως ἐστὶν τὸ ὑπὸ ΕΘ, ΓΗ πρὸς τὸ ὑπὸ ΕΓ, ΘΗ· πάλιν

14. ΘΒ] ΒΘ Hultsch.

γὰρ εἰς τρεῖς τὰς ΓΔ, ΔΘ, ΗΚ ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Ε δύο ἠγμέναι εἰσὶν αἱ ΕΓ, ΕΔ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΕΘ, ΓΗ πρὸς τὸ ὑπὸ ΕΓ, ΘΗ, οὕτως τὸ ὑπὸ ΝΔ,



ΓΖ πρὸς τὸ ὑπὸ ΝΓ, ΖΔ. διὰ δὴ τὸ προγεγραμμένον εὐθεῖά ἐστιν ἡ διὰ τῶν Α, Θ, Δ· καὶ ἡ διὰ τῶν Α, Μ, Δ ἄρα εὐθεῖά ἐστιν.

ιη'. Τρίγωνον τὸ ΑΒΓ, καὶ τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΑΔ, καὶ διήχθωσαν αἱ ΔΕ, ΖΗ, ἔστω δέ, ὡς τὸ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ ΕΓΒ, οὕτως ἡ ΒΗ πρὸς τὴν ΗΓ· ὅτι, ἐὰν ἐπιζευχθῇ ἡ ΒΔ, γίνεται εὐθεῖα ἡ διὰ τῶν Θ, Κ, Γ.

ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς ΕΒ πρὸς τὸ ὑπὸ ΕΓΒ, οὕτως ἡ ΒΗ πρὸς ΗΓ, κοινὸς ἄρα προσκείσθω ὁ τῆς ΓΕ πρὸς ΕΒ λόγος ὁ αὐτὸς ὢν τῷ τοῦ ὑπὸ ΕΓΒ πρὸς τὸ ὑπὸ ΕΒΓ· δι' ἴσου ἄρα ὁ τοῦ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ ΕΒΓ λόγος, τουτέστιν ὁ τῆς ΕΒ πρὸς τὴν ΒΓ, ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΗ πρὸς ΗΓ καὶ τοῦ τοῦ ὑπὸ ΕΓΒ πρὸς τὸ ὑπὸ ΕΒΓ, ὅς ἐστιν ὁ αὐτὸς τῷ τῆς ΕΓ πρὸς ΕΒ· ὥστε ὁ τοῦ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ

4. προγεγραμμένον] lemma XVI. 13. ἄρα] uncis incl. Hultsch.

ΕΒΓ συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΗ πρὸς ΗΓ καὶ τοῦ ὃν ἔχει ἡ ΕΓ πρὸς ΕΒ, ὅς ἐστιν ὁ αὐτὸς τῷ τοῦ ὑπὸ ΕΓ, ΒΗ πρὸς τὸ ὑπὸ ΕΒ, ΓΗ. ὡς δὲ ἡ ΕΒ πρὸς τὴν ΒΓ, οὕτως ἐστὶν διὰ τὸ προγεγραμμένον λῆμμα τὸ ὑπὸ ΔΕ, ΖΘ πρὸς τὸ ὑπὸ ΔΖ, ΘΕ· καὶ ὡς ἄρα τὸ



ὑπὸ ΓΕ, ΒΗ πρὸς τὸ ὑπὸ ΓΗ, ΕΒ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΕ, ΖΘ πρὸς τὸ ὑπὸ ΔΖ, ΘΕ. εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Θ, Κ, Γ· τοῦτο γὰρ ἐν τοῖς πτωτικοῖς τῶν ἀναστροφίων.

ιθ′. Εἰς τρεῖς εὐθείας τὰς ΑΒ, ΑΓ, ΑΔ ἀπό τινος σημείου τοῦ Ε δύο διήχθωσαν αἱ ΕΖ, ΕΒ, ἔστω δέ, ὡς ἡ ΕΖ πρὸς τὴν ΖΗ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΘΗ· ὅτι γίνεται καί, ὡς ἡ ΒΕ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΓ.



ἤχθω διὰ τοῦ Η τῇ ΒΕ παράλληλος ἡ ΛΚ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΕΖ

4. *προγεγραμμένον*] lemma XI (perperam usurpatum). 5. *ΔΕ, ΖΘ*] *ΔΖ ΘΕ* Hultsch cum Simsono. *ΔΖ, ΘΕ*] *ΔΕ ΖΘ* Hultsch cum Simsono. 7. *ΔΕ, ΖΘ*] *ΔΖ ΘΕ* Hultsch cum Simsono. *ΔΖ, ΘΕ*] *ΔΕ ΖΘ* Hultsch cum Simsono. 8. *τοῦτο*] u. lemma XVI, quod ut lemma X *ἀναστρόφιον* est lemmatis III.

πρὸς τὴν ZH, οὕτως ἡ EΘ πρὸς τὴν ΘH, ἀλλ' ὡς μὲν ἡ EZ πρὸς τὴν ZH, οὕτως ἡ EB πρὸς τὴν HK, ὡς δὲ ἡ EΘ πρὸς τὴν ΘH, οὕτως ἐστὶν ἡ ΔE πρὸς τὴν HΔ, καὶ ὡς ἄρα ἡ BE πρὸς τὴν HK, οὕτως ἐστὶν ἡ ΔE πρὸς τὴν HΔ. ἐναλλάξ ἐστιν, ὡς ἡ EB πρὸς τὴν EΔ, οὕτως ἡ KH πρὸς τὴν HΔ. ὡς δὲ ἡ KH πρὸς τὴν HΔ, οὕτως ἐστὶν ἡ BΓ πρὸς τὴν ΓΔ· καὶ ὡς ἄρα ἡ BE πρὸς τὴν EΔ, οὕτως ἡ BΓ πρὸς τὴν ΓΔ. ἐναλλάξ ἐστιν, ὡς ἡ EB πρὸς τὴν BΓ, οὕτως ἡ EΔ πρὸς τὴν ΔΓ.

τὰ δὲ πτωτικὰ ὁμοίως.

κ'. Ἔστω δύο τρίγωνα τὰ ABΓ, ΔEZ ἴσας ἔχοντα τὰς A, Δ γωνίας· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ EΔZ, οὕτως τὸ ABΓ τρίγωνον πρὸς τὸ EΔZ τρίγωνον.

ἤχθωσαν κάθετοι αἱ BH, EΘ.



ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν A γωνία τῇ Δ, ἡ δὲ H τῇ Θ, ἔστιν ἄρα, ὡς ἡ AB πρὸς τὴν BH, οὕτως ἡ ΔE πρὸς τὴν EΘ. ἀλλ' ὡς μὲν ἡ AB πρὸς τὴν BH, οὕτως ἐστὶν τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ BH, AΓ, ὡς δὲ ἡ ΔE πρὸς τὴν EΘ, οὕτως ἐστὶν τὸ ὑπὸ EΔZ πρὸς τὸ ὑπὸ EΘ, ΔZ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ BH, AΓ, οὕτως τὸ ὑπὸ EΔZ πρὸς τὸ ὑπὸ EΘ, ΔZ· καὶ ἐναλλάξ. ἀλλ' ὡς τὸ ὑπὸ BH, AΓ πρὸς τὸ ὑπὸ EΘ, ΔZ, οὕτως ἐστὶν τὸ ABΓ τρίγωνον πρὸς τὸ ΔEZ τρίγωνον· ἑκατέρα γὰρ τῶν BH, EΘ κάθετός ἐστιν ἑκατέρου τῶν εἰρημένων τριγώνων· καὶ ὡς ἄρα τὸ ὑπὸ BAΓ πρὸς τὸ

13. EΔZ] ΔEZ Hultsch.

ὑπὸ *EΔZ*, οὕτως ἐστὶν τὸ *ABΓ* τρίγωνον πρὸς τὸ *ΔEZ* τρίγωνον.

κά. Ἔστωσαν δὴ αἱ *A*, *Δ* δυσὶν ὀρθαῖς ἴσαι· ὅτι πάλιν γίνεται, ὡς τὸ ὑπὸ *BAΓ* πρὸς τὸ ὑπὸ *EΔZ*, οὕτως τὸ *ABΓ* τρίγωνον πρὸς τὸ *ΔEZ* τρίγωνον.

ἐκβεβλήσθω ἡ *BA*, καὶ κείσθω τῇ *BA* ἴση ἡ *AH*, καὶ ἐπεζεύχθω ἡ *ΓH*.



ἐπεὶ οὖν αἱ *A*, *Δ* γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἀλλὰ καὶ αἱ ὑπὸ *BAΓ*, *ΓAH* γωνίαι δυσὶν ὀρθαῖς, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ *ΓAH* γωνία τῇ *Δ*. ἔστιν οὖν, ὡς τὸ ὑπὸ *HAΓ* πρὸς τὸ ὑπὸ *EΔZ*, οὕτως τὸ *AHΓ* τρίγωνον πρὸς τὸ *ΔEZ* τρίγωνον. ἴση δέ ἐστιν ἡ μὲν *HA* τῇ *AB*, τὸ δὲ *HAΓ* τρίγωνον τῷ *ABΓ* τριγώνῳ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ *BAΓ* πρὸς τὸ ὑπὸ *EΔZ*, οὕτως τὸ *ABΓ* τρίγωνον πρὸς τὸ *ΔEZ* τρίγωνον.

κβ. Εὐθεῖα ἡ *AB*, καὶ ἐπ' αὐτῆς δύο σημεῖα τὰ *Γ*, *Δ*, ἔστω δὲ τὸ δὶς ὑπὸ *AB*, *ΓΔ* ἴσον τῷ ἀπὸ *ΓB*· ὅτι καὶ τὸ ἀπὸ *AΔ* ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *AΓ*, *ΔB* τετραγώνοις.



ἐπεὶ γὰρ τὸ δὶς ὑπὸ *AB*, *ΓΔ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΓB*, κοινὸν ἀφῃρήσθω τὸ δὶς ὑπὸ *BΔΓ*· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ *AΔΓ* ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *ΓΔ*, *ΔB* τετραγώνοις. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ *ΓΔ* τετράγωνον· λοι-

9. ὀρθαῖς] ὀρθαῖς ἴσαι suspicatur Hultsch.

πὸν ἄρα τὸ δὶς ὑπὸ *ΑΓΔ* μετὰ τοῦ ἀπὸ *ΓΔ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΔΒ* τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ *ΑΓ* τετράγωνον· ὅλον ἄρα τὸ ἀπὸ *ΑΔ* τετράγωνον ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *ΑΓ*, *ΔΒ* τετραγώνοις.

κγ'. Ἔστω τὸ ὑπὸ *ΑΒΓ* ἴσον τῷ ἀπὸ *ΒΔ* τετραγώνῳ· ὅτι γίνεται $\overline{\gamma}$, τὸ μὲν ὑπὸ συναμφοτέρου τῆς *ΑΔΓ* καὶ τῆς *ΒΔ* ἴσον τῷ ὑπὸ *ΑΔ*, *ΔΓ*, τὸ δὲ ὑπὸ συναμφοτέρου τῆς *ΑΔΓ* καὶ τῆς *ΒΓ* ἴσον τῷ ἀπὸ *ΔΓ* τετραγώνῳ, τὸ δὲ ὑπὸ συναμφοτέρου τῆς *ΑΔΓ* καὶ τῆς *ΒΑ* ἴσον τῷ ἀπὸ *ΑΔ* τετραγώνῳ.



ἐπεὶ γὰρ τὸ ὑπὸ *ΑΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΒΔ*, ἀνάλογον καὶ ὅλη πρὸς ὅλην καὶ ἀνάπαλιν καὶ συνθέντι· ἔστιν ἄρα, ὡς συναμφότερος ἡ *ΓΔ*, *ΔΑ* πρὸς τὴν *ΔΑ*, οὕτως ἡ *ΓΔ* πρὸς τὴν *ΔΒ*· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς *ΑΔ*, *ΔΓ* καὶ τῆς *ΒΔ* ἴσον ἐστὶ τῷ ὑπὸ τῶν *ΑΔΓ*. πάλιν, ἐπεὶ ὅλη ἡ *ΑΔ* πρὸς ὅλην τὴν *ΔΓ* ἐστιν, ὡς ἡ *ΔΒ* πρὸς τὴν *ΒΓ*, συνθέντι ἐστίν, ὡς συναμφότερος ἡ *ΑΔΓ* πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΔΓ* πρὸς τὴν *ΓΒ*· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς *ΑΔΓ* καὶ τῆς *ΓΒ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΔΓ*. πάλιν, ἐπεὶ ὅλη ἡ *ΑΔ* πρὸς ὅλην τὴν *ΔΓ* ἐστιν, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΔ*, ἀνάπαλιν καὶ συνθέντι ἐστίν, ὡς συναμφότερος ἡ *ΓΔΑ* πρὸς τὴν *ΔΑ*, οὕτως ἡ *ΔΑ* πρὸς τὴν *ΑΒ*· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς *ΑΔΓ* καὶ τῆς *ΑΒ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΑΔ* τετραγώνῳ.

κδ'. Εὐθεῖα ἡ *ΑΒ* καὶ δύο σημεῖα τὰ *Γ*, *Δ*, καὶ ἔστω τὸ ἀπὸ *ΓΔ* τετράγωνον ἴσον τῷ δὶς ὑπὸ *ΑΓ*, *ΒΔ*· ὅτι καὶ τὸ ἀπὸ *ΑΒ* τετράγωνον ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *ΑΔ*, *ΓΒ* τετραγώνοις.

ἐπεὶ γὰρ τὸ ἀπὸ *ΓΔ* ἴσον ἐστὶν τῷ δὶς ὑπὸ *ΑΓ*, *ΔΒ*,

---

6. $\overline{\gamma}$] τρία Hultsch. 26. *ΑΓ*, *ΒΔ*· ὅτι] *ΑΓΒ* διότι cod., *ΑΓ ΔΒ*· ὅτι Hultsch cum Commandino.

τὸ ἄρα δὶς ὑπὸ *ΑΓΒ* ἴσον ἐστὶν τῷ τε ἀπὸ τῆς *ΓΔ* καὶ τῷ δὶς ὑπὸ τῶν *ΑΓΔ*. κοινὸν προσκείσθω τὸ ἀπὸ *ΑΓ*· τὸ ἄρα δὶς ὑπὸ *ΑΓΒ* μετὰ τοῦ ἀπὸ *ΑΓ* ἴσον ἐστὶν τῷ

ἀπὸ *ΑΔ*. κοινὸν προσκείσθω τὸ ἀπὸ *ΒΓ*· ὅλον ἄρα τὸ ἀπὸ *ΑΒ* τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν *ΑΔ*, *ΓΒ* τετραγώνοις.

κε'. Ἔστω τὸ ὑπὸ τῶν *ΑΒΓ* ἴσον τῷ ἀπὸ τῆς *ΒΔ*· ὅτι γίνεται $\bar{γ}$, τὸ μὲν ὑπὸ τῆς τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχῆς καὶ τῆς *ΒΔ* ἴσον τῷ ὑπὸ *ΑΔΓ*, τὸ δὲ ὑπὸ τῆς τῶν *ΑΔΓ* ὑπεροχῆς καὶ τῆς *ΒΓ* ἴσον τῷ ἀπὸ τῆς *ΔΓ* τετραγώνῳ, τὸ δὲ ὑπὸ τῆς τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχῆς καὶ τῆς *ΒΑ* ἴσον τῷ ἀπὸ τῆς *ΑΔ* τετραγώνῳ.



ἐπεὶ γάρ ἐστιν, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΔ*, οὕτως ἡ *ΒΔ* πρὸς τὴν *ΒΓ*, λοιπὴ πρὸς λοιπὴν καὶ διελόντι· ἔστιν οὖν, ὡς ἡ τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχὴ πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΑΔ* πρὸς τὴν *ΔΒ*· τὸ ἄρα ὑπὸ τῆς τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχῆς καὶ τῆς *ΔΒ* ἴσον ἐστὶν τῷ ὑπὸ τῶν *ΑΔ*, *ΔΓ*. πάλιν, ἐπεὶ λοιπὴ ἡ *ΑΔ* πρὸς λοιπὴν τὴν *ΔΓ* ἐστιν, ὡς ἡ *ΔΒ* πρὸς τὴν *ΒΓ*, διελόντι ἐστίν, ὡς ἡ τῶν *ΑΔΓ* ὑπεροχὴ πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΔΓ* πρὸς τὴν *ΓΒ*· τὸ ἄρα ὑπὸ τῆς τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχῆς καὶ τῆς *ΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΔΓ* τετραγώνῳ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ *ΑΔ* πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΑΒ* πρὸς τὴν *ΒΔ*, ἀνάπαλιν καὶ διελόντι ἐστίν, ὡς ἡ τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχὴ πρὸς τὴν *ΔΑ*, οὕτως ἡ *ΔΑ* πρὸς τὴν *ΑΒ*· τὸ ἄρα ὑπὸ τῆς τῶν *ΑΔ*, *ΔΓ* ὑπεροχῆς καὶ τῆς *ΑΒ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΑΔ* τετραγώνῳ.

---

8. $\bar{γ}$] τρία Hultsch. 9. *ΑΔΓ* (alt.)] *ΑΔ ΔΓ* Hultsch cum Commandino. 15. οὖν] ἄρα Hultsch. 19. *ΑΔΓ*] *ΑΔ ΔΓ* Hultsch cum Commandino.

κϛ΄. Ἔστω, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΓ· ὅτι τὸ ὑπὸ τῶν ΑΒΓ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΒΔ τετραγώνῳ.

κείσθω τῇ ΓΔ ἴση ἡ ΔΕ· τὸ ἄρα ὑπὸ ΕΑΓ μετὰ τοῦ ἀπὸ ΓΔ, τουτέστιν τοῦ ὑπὸ ΓΔΕ, ἴσον τῷ ἀπὸ ΑΔ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΓ, διελόντι ἐστίν, ὡς ἡ ΑΓ πρὸς τὴν ΓΒ, τουτέστιν ὡς τὸ ὑπὸ ΕΑΓ πρὸς τὸ ὑπὸ ΕΑ, ΒΓ, οὕτως τὸ ὑπὸ ΕΑΓ πρὸς τὸ ὑπὸ ΓΔΕ· ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ ΑΕ, ΒΓ τῷ ὑπὸ ΓΔΕ. ἀνάλογον καὶ διελόντι ἐστίν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΕ, τουτέστιν πρὸς τὴν ΔΓ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ· καὶ λοιπὴ ἄρα ἡ ΑΒ πρὸς λοιπὴν τὴν ΒΔ ἐστιν, ὡς ἡ ΒΔ πρὸς τὴν ΒΓ. τὸ ἄρα ὑπὸ ΑΒΓ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΒΔ τετραγώνῳ.

κζ΄. Ἔστω δὲ πάλιν, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ἀπὸ ΑΔ τετράγωνον πρὸς τὸ ἀπὸ ΔΓ τετράγωνον· ὅτι τὸ ὑπὸ ΑΒΓ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΒΔ τετραγώνῳ.



κείσθω γὰρ ὁμοίως τῇ ΓΔ ἴση ἡ ΔΕ· τὸ ἄρα ὑπὸ ΓΑΕ μετὰ τοῦ ἀπὸ ΓΔ, τουτέστιν τοῦ ὑπὸ ΕΔΓ, ἴσον τῷ ἀπὸ ΑΔ. καὶ γίνεται κατὰ διαίρεσιν, ὡς ἡ ΑΓ πρὸς τὴν ΓΒ, τουτέστιν ὡς τὸ ὑπὸ ΕΑΓ πρὸς τὸ ὑπὸ ΕΑ, ΓΒ, οὕτως τὸ ὑπὸ ΓΑΕ πρὸς τὸ ὑπὸ ΕΔΓ· ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ ΑΕ, ΓΒ τῷ ὑπὸ ΕΔΓ. ἀνάλογον καὶ συνθέντι ἐστίν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΕ, τουτέστιν πρὸς τὴν ΔΓ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΓ· καὶ ὅλη ἄρα ἡ ΑΒ πρὸς ὅλην τὴν ΒΔ ἐστιν, ὡς ἡ ΒΔ πρὸς τὴν ΒΓ. τὸ ἄρα ὑπὸ τῶν ΑΒΓ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΒΔ τετραγώνῳ.

κη'. Κύκλου τοῦ ΑΒΓ ἐφαπτέσθωσαν αἱ ΑΔ, ΔΓ, καὶ ἐπεζεύχθω ἡ ΑΓ, καὶ διήχθω τυχοῦσα ἡ ΔΒ· ὅτι γίνεται, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΕ.



ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, τὸ ἄρα ὑπὸ ΑΖΓ μετὰ τοῦ ἀπὸ ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΔΑ. ἀλλὰ τὸ μὲν ὑπὸ ΑΖΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΖΕ, τὸ δὲ ἀπὸ ΔΑ ἐστιν τὸ ὑπὸ ΒΔΕ· τὸ ἄρα ὑπὸ ΒΖΕ μετὰ τοῦ ἀπὸ ΔΖ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔΕ. ἐὰν δὲ ᾖ τοῦτο, γίνεται, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΕ.

κθ'. Τμήματος δοθέντος τοῦ ἐπὶ τῆς ΑΒ κλάσαι εὐθεῖαν τὴν ΑΓΒ ἐν λόγῳ τῷ δοθέντι.





γεγονέτω, καὶ διήχθω ἀπὸ τοῦ Γ ἐφαπτομένη ἡ ΓΔ· ὡς ἄρα τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΓ, οὕτως ἡ ΑΔ πρὸς ΔΒ. λόγος δὲ τοῦ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ δοθείς· ὥστε καὶ ὁ τῆς ΑΔ πρὸς τὴν ΒΔ δοθείς. καί ἐστιν δύο

---

7. *ἐστιν τὸ*] *ἴσον τῷ* Hultsch. 16. *δύο δοθέντα τὰ Α, Β*] *δύο* cod., *δοθέντα τὰ Α Β* Hultsch cum Simsono.

δοθέντα τὰ Α, Β· δοθὲν ἄρα ἐστὶν τὸ Δ· ὥστε καὶ τὸ Γ δοθέν.

Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. ἔστω τὸ μὲν τμῆμα τὸ ΑΒΓ, ὁ δὲ λόγος ὁ τῆς Ε πρὸς τὴν Ζ, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ, καὶ ἤχθω ἐφαπτομένη ἡ ΔΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΓΒ. λέγω, ὅτι αἱ ΑΓ, ΓΒ ποιοῦσι τὸ πρόβλημα.

ἐπεὶ γάρ ἐστιν, ὡς τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ, ὡς δὲ ἡ ΑΔ πρὸς τὴν ΔΒ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ διὰ τὸ ἐφάπτεσθαι τὴν ΓΔ, καὶ ὡς ἄρα τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ· ὥστε καί, ὡς ἡ Ε πρὸς τὴν Ζ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἡ ΑΓΒ ἄρα ποιεῖ τὸ πρόβλημα.

λ'. Κύκλος, οὗ διάμετρος ἡ ΑΒ, καὶ ἀπὸ τυχόντος ἐπ' αὐτὴν κάθετος ἡ ΔΕ, διήχθω ἡ ΔΖ, ἐπεζεύχθω ἡ



ΕΖ καὶ ἐκβεβλήσθω, καί, καθ' ὃ συμπίπτει τῇ διαμέτρῳ, ἔστω τὸ Η· ὅτι ἐστίν, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΑΘ πρὸς τὴν ΘΒ.

ἐπεζεύχθωσαν αἱ ΔΑ, ΑΕ, ΑΖ.

12. οὕτως τὸ] m. 2 cod.; οὕτωσε ante rasuram, ut uidetur, m. 1 cod.; οὕτως ἐστὶν τὸ coni. Hultsch.

ἐπεὶ οὖν ἐπὶ διάμετρον κάθετος ἡ ΔΕ, ἴση ἐστὶν ἡ ὑπὸ ΔΑΒ τῇ ὑπὸ ΒΑΕ. ἀλλ' ἡ ὑπὸ ΔΑΒ τῇ ἐν τῷ αὐτῷ τμήματι ἴση ἐστὶν τῇ ὑπὸ ΘΖΒ, ἡ δὲ ὑπὸ ΒΑΕ ἴση ἐστὶν τῇ ἐκτὸς τετραπλεύρου τῇ ὑπὸ ΒΖΗ· καὶ ἡ ὑπὸ ΘΖΒ ἄρα γωνία ἴση ἐστὶν τῇ ὑπὸ ΒΖΗ. καί ἐστιν ὀρθὴ ἡ ὑπὸ ΑΖΒ γωνία· διὰ δὴ τὸ λῆμμα γίνεται, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΑΘ πρὸς τὴν ΒΘ.

λα'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς ΑΒ, καὶ ἀπὸ τῶν Α, Β σημείων τῇ ΑΒ πρὸς ὀρθὰς γωνίας εὐθεῖαι γραμμαὶ ἤχθωσαν αἱ ΒΔ, ΑΕ, καὶ ἤχθω τυχοῦσα ἡ ΔΕ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΔΕ πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἡ ΖΗ συμπιπτέτω τῇ ΑΒ κατὰ τὸ Η· ὅτι τὸ ὑπὸ τῶν ΑΕ, ΒΔ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΗΒ.



ὅτι ἄρα ἐστίν, ὡς ἡ ΕΑ πρὸς τὴν ΑΗ, οὕτως ἡ ΗΒ πρὸς τὴν ΒΔ. περὶ ἴσας γωνίας ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅτι ἄρα ἴση ἐστὶν ἡ ὑπὸ τῶν ΑΗΕ γωνία τῇ ὑπὸ τῶν ΒΔΗ γωνίᾳ. ἀλλὰ ἡ μὲν ὑπὸ ΑΗΕ ἴση ἐστὶν ἐν τῷ αὐτῷ τμήματι τῇ ὑπὸ ΑΖΕ, ἡ δὲ ὑπὸ ΒΔΗ πάλιν ἐν τῷ αὐτῷ τμήματι τῇ ὑπὸ ΒΖΗ· ὅτι ἄρα ἴση ἐστὶν ἡ ὑπὸ ΑΖΕ γωνία τῇ ὑπὸ ΒΖΗ γωνίᾳ. ἔστιν δέ· ὀρθὴ γάρ ἐστιν ἑκατέρα τῶν ὑπὸ ΑΖΒ, ΕΖΗ γωνιῶν.

1. *διάμετρον*] *διαμέτρου* cod., Hultsch. 4. *ἡ*] *τῇ* cod., Hultsch. 5. *γωνίᾳ* cod., Hultsch. *τῇ*] *τῷ* cod., *ἡ* Hultsch cum aliis. 6. *τὸ*] *τι* susp. Hultsch. significatur lemma VI, 99, quod sane aliter a Pappo significatum fuisse probabile est. 7. *ΒΘ*] *ΘΒ* Hultsch.

λβ'. Τρίγωνον τὸ ΑΒΓ ἴσην ἔχον τὴν ΑΒ τῇ ΑΓ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ διήχθω ἡ ΔΕ ποιοῦσα ἴσον τὸ ΒΔΕ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ· ὅτι, ἐὰν δίχα τμηθῇ μία τῶν ἴσων πλευρῶν ἡ πρὸς τῷ ἴσῳ τριγώνῳ τῇ ΒΖ, γίνεται, ὡς συναμφότερος ἡ ΖΒΗ πρὸς τὴν ΖΗ, οὕτως τὸ ἀπὸ ΑΖ τετράγωνον πρὸς τὸ ἀπὸ ΖΘ τετράγωνον.

ἤχθω διὰ τοῦ Β τῇ ΔΕ παράλληλος ἡ ΒΚ, καὶ ἐκβεβλήσθω ἡ ΑΓ ἐπὶ τὸ Κ· ὅτι ἄρα ἐστίν, ὡς συναμφότερος ἡ ΖΚ, ΚΘ πρὸς τὴν ΖΘ, τουτέστιν τὸ ὑπὸ συναμ-



φοτέρου τῆς ΖΚ, ΚΘ καὶ τῆς ΖΘ πρὸς τὸ ἀπὸ ΖΘ, οὕτως τὸ ἀπὸ ΑΖ τετράγωνον πρὸς τὸ ἀπὸ ΖΘ τετράγωνον. τὸ δὴ ὑπὸ συναμφοτέρου τῆς ΖΚΘ καὶ τῆς ΖΘ, τουτέστιν ἡ τῶν ἀπὸ ΖΚ, ΚΘ ὑπεροχή, ἴση ἐστὶν τῷ ἀπὸ ΑΖ· ἡ ἄρα τῶν ἀπὸ ΚΖ, ΖΑ ὑπεροχή ἐστιν τὸ ἀπὸ ΚΘ. ἀλλὰ ἡ τῶν ἀπὸ ΚΖ, ΖΑ ὑπεροχή ἐστιν το ὑπὸ ΓΚΑ· ὅτι ἄρα τὸ ὑπὸ ΓΚΑ ἴσον ἐστὶν τῷ ἀπὸ ΘΚ· ὅτι ἄρα ἐστίν, ὡς ἡ ΓΚ πρὸς τὴν ΚΘ, τουτέστιν ὡς ἡ ΓΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΚΘ πρὸς τὴν ΚΑ, τουτέστιν ἡ ΔΒ πρὸς τὴν ΒΑ. ἔστιν δέ· παράλληλος γάρ ἐστιν ἡ ΑΕ τῇ ΔΓ, ἐπειδὴ τὸ ΔΒΕ τρίγωνον ἴσον ἐστὶν

5. ΖΒΗ] m. 2 cod., ΒΖΗ m. 1; ΖΒ ΒΗ Hultsch cum aliis.
13. δὴ] ΔΕ cod., ἄρα Hultsch cum Commandino. ΖΚΘ] ΖΚ ΚΘ Hultsch cum Commandino.

τῷ *ΑΒΓ* τριγώνῳ, κοινοῦ δ' ἀφαιρουμένου τοῦ *ΑΒΕ* λοιπὸν τὸ *ΔΑΕ* λοιπῷ τῷ *ΑΓΕ* ἐστιν ἴσον καί ἐστιν ἐπὶ τῆς αὐτῆς βάσεως.

λγ'. Κύκλος περὶ διάμετρον τὴν *ΑΒ*, καὶ ἐκβεβλήσθω ἡ *ΑΒ* καὶ ἔστω ἐπὶ τυχοῦσαν τὴν *ΔΕ* κάθετος, καὶ τῷ ὑπὸ *ΑΖΒ* ἴσον κείσθω τὸ ἀπὸ *ΖΗ* τετράγωνον· ὅτι, οἷον ἐὰν ληφθῇ σημεῖον ὡς τὸ *Ε*, καὶ ἀπ' αὐτοῦ ἐπὶ τὸ *Η* ἐπιζευχθεῖσα ἐκβληθῇ ἐπὶ τὸ *Θ*, γίνεται καὶ τὸ ὑπὸ *ΘΕΚ* ἴσον τῷ ἀπὸ *ΕΗ* τετραγώνῳ.



ἐπεζεύχθωσαν αἱ *ΑΕ*, *ΒΔ*· ὀρθὴ ἄρα ἐστὶν ἡ *Λ* γωνία. ἔστιν δὲ καὶ ἡ *Ζ* ὀρθή· τὸ ἄρα ὑπὸ *ΑΕΔ* ἴσον ἐστὶν τῷ τε ὑπὸ *ΑΖΒ* καὶ τῷ ἀπὸ *ΖΕ* τετραγώνῳ. ἀλλὰ τὸ μὲν ὑπὸ *ΑΕΔ* ἴσον ἐστὶν τῷ ὑπὸ *ΘΕΚ*, τὸ δὲ ὑπὸ *ΑΖΒ* ἴσον ἐστὶν τῷ ἀπὸ *ΖΗ* τετραγώνῳ· τὸ ἄρα ὑπὸ *ΘΕΚ* ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *ΕΖ*, *ΖΗ* τετραγώνοις, τουτέστιν τῷ ἀπὸ *ΕΗ* τετραγώνῳ.

λδ'. Ἔστω, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως ἡ *ΑΔ* πρὸς τὴν *ΔΓ*, καὶ τετμήσθω ἡ *ΑΓ* δίχα κατὰ τὸ *Ε* σημεῖον· ὅτι γίνεται τρία, τὸ μὲν ὑπὸ *ΒΕΔ* ἴσον τῷ ἀπὸ *ΕΓ*



τετραγώνῳ, τὸ δὲ ὑπὸ *ΒΔΕ* τῷ ὑπὸ *ΑΔΓ*, τὸ δὲ ὑπὸ *ΑΒΓ* τῷ ὑπὸ *ΕΒΔ*.

ἐπεὶ γάρ, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως ἡ *ΑΔ* πρὸς τὴν *ΔΓ*, συνθέντι καὶ τὰ ἡμίσεα τῶν ἡγουμένων καὶ ἀναστρέψαντι ἄρα ἐστίν, ὡς ἡ *ΒΕ* πρὸς τὴν *ΕΓ*, ἡ *ΕΓ*

30. ἡ *ΕΓ*] οὕτως ἡ *ΕΓ* Gerhardt, Hultsch.

πρὸς τὴν $EΔ$· τὸ ἄρα ὑπὸ $BEΔ$ ἴσον ἐστὶν τῷ ἀπὸ $EΓ$. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ $ΔE$ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ $BΔE$ ἴσον ἐστὶν τῷ ὑπὸ $AΔΓ$. πάλιν τὸ ὑπὸ $BEΔ$ ἴσον ἐστὶν τῷ ἀπὸ $EΓ$ τετραγώνῳ. ἀμφότερα ἀφῃρήσθω ἀπὸ τοῦ ἀπὸ τῆς BE τετραγώνου· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν $ABΓ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν $EBΔ$.

Ἀλλὰ ἔστω νῦν τὸ ὑπὸ τῶν $BΔE$ ἴσον τῷ ὑπὸ τῶν $AΔΓ$, καὶ τετμήσθω δίχα ἡ $ΓA$ κατὰ τὸ E· ὅτι ἐστίν, ὡς ἡ AB πρὸς τὴν $BΓ$, οὕτως ἡ $AΔ$ πρὸς τὴν $ΔΓ$.

ἐπεὶ γὰρ τὸ ὑπὸ τῶν $BΔE$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν $AΔΓ$, κοινὸν προσκείσθω τὸ ἀπὸ $ΔE$ τετράγωνον· ὅλον ἄρα τὸ ὑπὸ $BEΔ$ ἴσον τῷ ἀπὸ $ΓE$ τετραγώνῳ. ἀνάλογον καὶ ἀναστρέψαντι καὶ δὶς τὰ ἡγούμενα καὶ διελόντι ἄρα ἐστίν, ὡς ἡ AB πρὸς τὴν $BΓ$, οὕτως ἡ $AΔ$ πρὸς τὴν $ΔΓ$.

λε΄. Τούτων ὄντων ἔστω κύκλος ὁ περὶ διάμετρον τὴν AB, καὶ ἐκβεβλήσθω ἡ AB, ἔστω δὲ ἐπὶ τυχοῦσαν τὴν $ΔE$ κάθετος, καὶ πεποιήσθω, ὡς ἡ AZ πρὸς τὴν ZB, οὕτως ἡ AH πρὸς τὴν HB· ὅτι πάλιν, οἷον ἐὰν ἐπὶ τῆς $EΔ$ σημεῖον ληφθῇ ὡς τὸ E, καὶ ἐπιζευχθεῖσα ἡ EH ἐκβληθῇ ἐπὶ τὸ $Θ$, γίνεται, ὡς ἡ $ΘE$ πρὸς τὴν EK, οὕτως ἡ $ΘH$ πρὸς τὴν HK.



εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ $Λ$, καὶ ἀπὸ τοῦ $Λ$ ἐπὶ τὴν $EΘ$ κάθετος ἤχθω ἡ $ΛM$· ἴση ἄρα ἐστὶν ἡ KM τῇ $MΘ$. ἐπεὶ δὲ ὀρθή ἐστιν ἑκατέρα τῶν M, Z γωνιῶν, ἐν κύκλῳ ἐστὶν τὰ E, Z, $Λ$, M σημεῖα· τὸ ἄρα ὑπὸ $ZHΛ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν EHM. ἀλλὰ τὸ ὑπὸ τῶν $ZHΛ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν AHB διὰ τὸ εἶναι,

20. πάλιν] ut in lemmate XXXIII.

ὡς τὴν ΑΖ πρὸς τὴν ΖΒ, οὕτως τὴν ΑΗ πρὸς τὴν ΗΒ, καὶ τετμῆσθαι τὴν ΑΒ δίχα κατὰ τὸ Λ· καὶ τὸ ὑπὸ τῶν ΕΗΜ ἄρα ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΗΒ, τουτέστιν· ἐν κύκλῳ γάρ· τῷ ὑπὸ τῶν ΘΗΚ. καὶ τέτμηται δίχα ἡ ΘΚ κατὰ τὸ Μ· διὰ δὴ τὸ προγεγραμμένον γίνεται, ὡς ἡ ΘΕ πρὸς τὴν ΕΚ, οὕτως ἡ ΘΗ πρὸς τὴν ΗΚ.

λϛ'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς ΑΒ, καὶ παράλληλος τῇ ΑΒ ἡ ΓΔ, καὶ κάθετοι ἤχθωσαν αἱ ΓΕ, ΔΗ· ὅτι ἴση ἐστὶν ἡ ΑΕ τῇ ΗΒ.

εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Ζ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΖ, ΖΔ· ἴση ἄρα ἐστὶν ἡ ΓΖ τῇ ΖΔ· ὥστε καὶ τὸ ἀπὸ τῆς ΓΖ ἴσον τῷ ἀπὸ τῆς ΖΔ τετραγώνῳ. ἀλλὰ τῷ μὲν ἀπὸ ΓΖ τετραγώνῳ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν ΓΕ, ΕΖ τετράγωνα, τῷ δὲ ἀπὸ ΔΖ τετραγώνῳ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν ΔΗ, ΗΖ τετράγωνα· καὶ τὰ ἀπὸ τῶν ΓΕ, ΕΖ ἄρα τετράγωνα ἴσα ἐστὶν τοῖς ἀπὸ τῶν ΖΗ, ΗΔ τετραγώνοις. ὧν τὸ ἀπὸ ΓΕ τετράγωνον ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΔΗ τετραγώνῳ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς ΕΖ τετράγωνον λοιπῷ τῷ ἀπὸ ΖΗ τετραγώνῳ ἐστὶν ἴσον· ἴση ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΖΗ. ἔστιν δὲ καὶ ὅλη ἡ ΑΖ ὅλῃ τῇ ΖΒ ἴση· λοιπὴ ἄρα ἡ ΑΕ λοιπῇ τῇ ΗΒ ἐστὶν ἴση· ὅπερ ἔδει δεῖξαι.



λζ'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς ΑΒ, καὶ ἀπὸ τυχόντος τοῦ Γ διήχθω ἡ ΓΔ, καὶ κάθετος ἤχθω ἡ ΔΕ· ὅτι τὸ ἀπὸ ΑΓ τοῦ ἀπὸ ΓΔ ὑπερέχει τῷ ὑπὸ συναμφοτέρου τῆς ΑΓ, ΓΒ καὶ τῆς ΑΕ.

ὅτι ἄρα τὸ ἀπὸ ΑΓ ἴσον ἐστὶν τῷ τε ἀπὸ ΔΓ, τουτέστιν τοῖς ἀπὸ ΔΕ, ΕΓ, καὶ τῷ ὑπὸ συναμφοτέρου τῆς

2. τετμῆσθαι τὴν] susp. Hultsch, τέτμηται ἡ cod. 5. προγεγραμμένον] lemma XXXIV extr. 25. ὅπερ ἔδει δεῖξαι] o cod., ὅπερ: ~ Hultsch.

ΑΓΒ καὶ τῆς ΑΕ. ὅτι ἄρα κοινοῦ ἀφαιρεθέντος τοῦ ὑπὸ ΓΑΕ λοιπὸν τὸ ὑπὸ ΑΓΕ ἴσον ἐστὶν τῷ τε ἀπὸ ΔΕ, τουτέστιν τῷ ὑπὸ ΑΕΒ, καὶ τῷ ἀπὸ ΓΕ καὶ τῷ



ὑπὸ ΑΕ, ΓΒ. κοινοῦ ἀφαιρεθέντος τοῦ ἀπὸ ΓΕ, ὅτι λοιπὸν τὸ ὑπὸ ΑΕΓ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΑΕΒ καὶ τῷ ὑπὸ ΑΕ, ΒΓ. ἔστιν δέ.

Εἰς τὸ πόρισμα τοῦ α΄ βιβλίου.

λη΄. Θέσει ὄντος παραλληλογράμμου τοῦ ΑΔ ἀπὸ δοθέντος τοῦ Ε διαγαγεῖν τὴν ΕΖ καὶ ποιεῖν ἴσον τὸ ΖΓΗ τρίγωνον τῷ ΑΔ παραλληλογράμμῳ.

γεγονέτω. ἐπεὶ οὖν ἴσον ἐστὶν



τὸ ΖΓΗ τρίγωνον τῷ ΑΔ παραλληλογράμμῳ, τὸ δὲ ΑΔ παραλληλόγραμμον διπλάσιόν ἐστιν τοῦ ΑΓΔ τριγώνου, καὶ τὸ ΖΓΗ ἄρα τρίγωνον διπλάσιόν ἐστιν τοῦ ΑΓΔ τριγώνου. ὡς δὲ τὸ τρίγωνον πρὸς τὸ τρίγωνον, διὰ τὸ περὶ τὴν αὐτὴν γωνίαν τὴν Γ οὕτως ἐστὶν τὸ ὑπὸ ΖΓΗ πρὸς τὸ ὑπὸ ΑΓΔ. δοθὲν δὲ τὸ ὑπὸ ΑΓΔ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΖΓΗ. καὶ δο-

1. *ΑΓΒ*] *ΑΓ ΓΒ* Hultsch cum Commandino. 19. *περὶ*] *εἶναι περὶ* Hultsch. 22. *δοθέντος*] *ἀπὸ δοθέντος* Hultsch cum Commandino.

θέντος τοῦ E εἰς θέσει τὰς AΓ, ΓΔ διῆκται εἰς χωρίου ἀποτομήν· θέσει ἄρα ἐστὶν ἡ EZ.

συντεθήσεται δὲ οὕτως· ἔστω τὸ μὲν τῇ θέσει παραλληλόγραμμον τὸ AΔ, τὸ δὲ δοθὲν τὸ E. διήχθω ἀπὸ τοῦ E εἰς θέσει τὰς ZΓH εὐθεῖα ἡ EZ ἀποτέμνουσα χωρίον τὸ ZΓH ἴσον δοθέντι χωρίῳ τῷ διπλασίονι τοῦ AΓΔ. καὶ κατὰ τὰ αὐτὰ τῇ ἀναλύσει δείξομεν ἴσον τὸ ZΓH τρίγωνον τῷ AΔ παραλληλογράμμῳ· ἡ EZ ἄρα ποιεῖ τὸ πρόβλημα. φανερὸν οὖν, ὅτι μόνη, ἐπεὶ κἀκείνη μόνη.

Τόποι πρὸς ἐπιφανείᾳ.

7. Pappus *Συναγ.* VII 3 p. 636, 23 (inter opera ad *τόπον ἀναλυόμενον* pertinentia loco undecimo, cfr. fr. 5): *Εὐκλείδου Τόπων πρὸς*[1] *ἐπιφανείᾳ δύο.* cfr. Studien über Euklid p. 79 sqq., Zeuthen Die Lehre von den Kegelschnitten im Altertum p. 423 sqq.

8. Pappus *Συναγ.* VII 312 p. 1004, 16 sqq.:

Εἰς τοὺς πρὸς ἐπιφανείᾳ.



α'. Ἐὰν ᾖ εὐθεῖα ἡ AB καὶ παρὰ θέσει ἡ ΓΔ, καὶ ᾖ λόγος τοῦ ὑπὸ AΔB πρὸς τὸ ἀπὸ ΔΓ, τὸ Γ ἅπτεται κωνικῆς γραμμῆς. ἐὰν οὖν ἡ μὲν AB στερηθῇ τῆς θέσεως, καὶ τὰ A, B στερηθῇ τοῦ δοθέντα εἶναι, γένηται δὲ πρὸς θέσει εὐθείαις ταῖς AE,

1) *πρὸς*] *τῶν πρὸς* Hultsch.

1. *εἰς* (alt.)] *ἡ* EZ *εἰς* Hultsch cum Commandino. 5. *ZΓH*] *ZΓ ΓΔ* Hultsch cum Commandino. 6. *τὸ*] *τὸ ὑπὸ* cod., Hultsch. 7. *τοῦ*] *τοῦ ὑπὸ* cod., Hultsch. 19. *α'*] hoc lemma explicauit Tannery Bulletin des sciences mathém. 2e série VI p. 149, figuram dedit Zeuthen Kegelsch. p. 424. 25. *δοθέντα*] *δοθέντος* cod., Hultsch. *εὐθείαις*] Tannery, *εὐθεῖα* cod., Hultsch.

ΕΒ, τὸ Γ μετεωρισθὲν γίνεται πρὸς θέσει ἐπιφανείᾳ. τοῦτο δὲ ἐδείχθη.

β΄. Ἐὰν ᾖ θέσει εὐθεῖα ἡ ΑΒ καὶ δοθὲν τὸ Γ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διαχθῇ ἡ ΔΓ, καὶ παρὰ θέσει ἀχθῇ ἡ ΔΕ, λόγος δὲ ἧς τῆς ΓΔ πρὸς ΔΕ, τὸ Δ ἅπτεται θέσει κωνικῆς τομῆς· δείκνυται δέ, ὅτι γραμμῆς. δειχθήσεται δὲ οὕτως προγραφέντος τόπου τοῦδε·



Δύο δοθέντων τῶν Α, Β καὶ ὀρθῆς τῆς ΓΔ λόγος ἔστω τοῦ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΓΔ, ΔΒ. λέγω, ὅτι τὸ Γ ἅπτεται κώνου τομῆς, ἐάν τε ᾖ ὁ λόγος ἴσος πρὸς ἴσον ἢ μείζων πρὸς ἐλάσσονα ἢ ἐλάσσων πρὸς μείζονα.



ἔστω γὰρ πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον. καὶ ἐπεὶ ἴσον ἐστὶν τὸ ἀπὸ ΑΔ τοῖς ἀπὸ ΓΔ, ΔΒ, κείσθω τῇ ΒΔ ἴση ἡ ΔΕ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΒΑΕ τῷ ἀπὸ ΔΓ. τετμήσθω δίχα ἡ ΑΒ τῷ Ζ· δοθὲν ἄρα τὸ Ζ. καὶ ἔσται διπλῆ ἡ ΑΕ τῆς ΖΔ· ὥστε τὸ ὑπὸ ΒΑΕ τὸ δίς ἐστιν ὑπὸ τῶν ΑΒ, ΖΔ. καί ἐστιν ἡ διπλῆ τῆς ΑΒ δοθεῖσα· τὸ ἄρα ὑπὸ δοθείσης καὶ τῆς ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΔΓ. τὸ Γ ἄρα ἅπτεται θέσει παραβολῆς ἐρχομένης διὰ τοῦ Ζ.

συντεθήσεται δὴ ὁ τόπος οὕτως·

ἔστω τὰ δοθέντα Α, Β, ὁ δὲ λόγος ἔστω ἴσος πρὸς

---

1. *ἐπιφανείᾳ*] Hultsch in indice, *ἐπιφανείας* cod. 5. *παρὰ θέσει*] *πρὸς ὀρθὰς* Hultsch. 7. *δείκνυται*] *δεικτέον* susp. Hultsch. *γραμμῆς*] *γραμμῆς μέρος ποιεῖ τὸν τόπον* Gerhardt, Hultsch. 8. *τόπου*] „immo *τοῦ λήμματος*“ Hultsch. 10. *γ΄* praeposuit Hultsch cum aliis. 21. *ἔσται*] *ἔστιν* Hultsch cum Commandino. 27. *δ΄* add. Hultsch, alii.

ἴσον, καὶ τετμήσθω ἡ *AB* δίχα τῷ *Z*, τῆς δὲ *AB* διπλῆ ἔστω ἡ *P*, καὶ θέσει οὔσης εὐθείας τῆς *ZB* πεπερασμένης κατὰ τὸ *Z*, τῆς δὲ *P* δεδομένης τῷ μεγέθει, γεγράφθω περὶ ἄξονα τὸν *ZB* παραβολὴ ἡ *HZ*, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς σημεῖον ληφθῇ ὡς τὸ *Γ*, κάθετος δὲ ἀχθῇ ἡ *ΓΔ*, ἴσον εἶναι τὸ ὑπὸ *P*, *ZΔ* τῷ ἀπὸ *ΔΓ*, καὶ ἤχθω ὀρθὴ ἡ *BH*. λέγω, ὅτι τὸ *ΓH* μέρος τῆς παραβολῆς ἐστιν.



ἤχθω γὰρ κάθετος ἡ *ΓΔ*, καὶ τῇ *BΔ* ἴση κείσθω ἡ *ΔE*. ἐπεὶ οὖν διπλῆ ἐστιν ἡ μὲν *AB* τῆς *BZ*, ἡ δὲ *EB* τῆς *BΔ*, διπλῆ ἄρα καὶ ἡ *AE* τῆς *ZΔ*· τὸ ἄρα ὑπὸ *BAE* ἴσον ἐστὶν τῷ δὶς ὑπὸ τῶν *AB*, *ZΔ*, τουτέστιν τῷ ἀπὸ *ΔΓ*. κοινὸν προσκείσθω τὸ ἀπὸ *EΔ* ἴσον ὂν τῷ ἀπὸ *ΔB*· ὅλον ἄρα τὸ ἀπὸ *AΔ* ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν *ΓΔ*, *ΔB*. ἡ *ZΓH* ἄρα γραμμὴ ποιεῖ τὸν τόπον.

Ἔστω δὴ πάλιν τὰ δύο δοθέντα σημεῖα τὰ *A*, *B* καὶ εὐθεῖά τε ἡ *ΔΓ* καὶ ὀρθή, λόγος δὲ ἔστω τοῦ ἀπὸ *AΔ*

---

17. ε′ praemisit Hultsch cum aliis. 18. *εὐθεῖά τε ἡ ΔΓ καὶ ὀρθή*] *ἐφάπτεται ἡ ΔΓ καὶ ὀρθή* cod., *κατήχθω ὀρθὴ ἡ ΔΓ* Hultsch cum Commandino.

πρὸς τὰ ἀπὸ $B\Delta$, $\Delta\Gamma$ ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλάσσων πρὸς μείζονα, ἐπὶ δὲ τῆς δευτέρας μείζων πρὸς ἐλάσσονα. λέγω, ὅτι τὸ Γ ἅπτεται κώνου τομῆς, ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.

ἐπεὶ γὰρ λόγος ἐστὶν τοῦ ἀπὸ $A\Delta$ πρὸς τὰ ἀπὸ $B\Delta$, $\Delta\Gamma$, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τοῦ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ



ΔE· ἐπὶ μὲν οὖν τῆς πρώτης πτώσεως ἐλάσσων ἐστὶν ἡ $B\Delta$ τῆς ΔE, ἐπὶ δὲ τῆς δευτέρας μείζων ἐστὶν ἡ $B\Delta$ τῆς ΔE. κείσθω οὖν τῇ $E\Delta$ ἴση ἡ ΔZ. ἐπεὶ λόγος



ἐστὶν τοῦ ἀπὸ $A\Delta$ πρὸς τὰ ἀπὸ $\Gamma\Delta$, ΔB, καί ἐστιν αὐτῷ ὁ αὐτὸς ὁ τοῦ ἀπὸ $E\Delta$ πρὸς τὸ ἀπὸ ΔB, καὶ λοιπὸς

---

2. ἐλάσσων πρὸς μείζονα] μείζων πρὸς ἐλάσσονα Hultsch cum Commandino. μείζων πρὸς ἐλάσσονα] ἐλάσσων πρὸς μείζονα Hultsch cum Commandino. 7. $B\Delta$] $E\Delta$ Hultsch cum Commandino. 8. ΔE] ΔB Hultsch cum Commandino. 10. οὖν] ὅτι cod., om. Hultsch cum Commandino. 12. Permutanda erant $E\Delta$ et ΔB; sed hic error, quoniam cum ulla probabilitate corrigi non potest, Pappo ipsi tribuendus est. totam demonstrationem pessumdat.

ἄρα τοῦ ὑπὸ ZAE πρὸς τὸ ἀπὸ $\Delta\Gamma$ λόγος ἐστὶν δοθείς. ἐπεὶ δὲ λόγος ἐστὶν τῆς $E\Delta$ πρὸς ΔB καὶ τῆς $Z\Delta$ πρὸς ΔB καὶ τῆς ZB πρὸς $B\Delta$, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς AB πρὸς BH· καὶ ὅλης ἄρα τῆς AZ πρὸς ΔH λόγος ἐστὶν δοθείς. πάλιν, ἐπεὶ λόγος ἐστὶν τῆς $E\Delta$ πρὸς ΔB δοθείς, καὶ τῆς EB ἄρα πρὸς $B\Delta$ λόγος ἐστὶν δοθείς. ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς AB πρὸς $B\Theta$· λόγος ἄρα καὶ τῆς AB πρὸς $B\Theta$ ἐστιν δοθείς· δοθὲν ἄρα τὸ Θ. καὶ λοιπὸς τῆς AE πρὸς $\Theta\Delta$ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ ZAE ἄρα πρὸς τὸ ὑπὸ $\Theta\Delta H$ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ ZAE πρὸς τὸ ἀπὸ $\Gamma\Delta$ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ $H\Delta\Theta$ ἄρα πρὸς τὸ ἀπὸ $\Delta\Gamma$ λόγος ἐστὶν δοθείς. καί ἐστιν δύο δοθέντα τὰ Θ, H· ἐπὶ μὲν ἄρα τῆς πρώτης πτώσεως τὸ Γ ἅπτεται ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.

συντεθήσεται δὲ ὁ τόπος οὕτως·

ἔστω τὰ μὲν δύο δοθέντα σημεῖα τὰ A, B, ὁ δὲ δοθεὶς λόγος ὁ τῆς $P\Upsilon$ πρὸς $T\Sigma$, ἐπὶ μὲν τῆς πρώτης πτώ-



σεως ἐλάσσων πρὸς μείζονα, ἐπὶ δὲ τῆς δευτέρας μείζων

---

2. καὶ τῆς $Z\Delta$ πρὸς ΔB] om. Hultsch cum Commandino. 6. καὶ τῆς — 7. δοθείς] cod., nisi quod δοθέντα habet (sicut etiam post ΔB lin. 6); om. Hultsch cum Commandino. 7. AB] $A\Theta$ Hultsch cum Commandino. 9. δοθὲν ἄρα τὸ Θ] uncis inclusit Hultsch. λοιπὸς] λοιπὸς ἄρα Hultsch. 15. Post ὑπερβολῆς add. μείζων πρὸς ἐλάσσονα ἐλάσσων πρὸς μείζονα cod. 16. ς′ praemisit Hultsch cum aliis. 18. τῆς PT πρὸς $T\Sigma$] τοῦ ἀπὸ PT πρὸς τὸ ἀπὸ $T\Sigma$ Hultsch cum Commandino. 19. μείζων πρὸς ἐλάσσονα et ἐλάσσων πρὸς μείζονα Hultsch cum Commandino.

πρὸς ἐλάσσονα, καὶ τῇ PT ἴση κείσθω ἡ TY, καὶ πεποιήσθω, ὡς ἡ $YΣ$ πρὸς τὴν $ΣT$, οὕτως ἡ AB πρὸς τὴν BH, πεποιήσθω δὲ καί, ὡς ἡ PT πρὸς τὴν $TΣ$, οὕτως ἡ $AΘ$ πρὸς τὴν $ΘB$, καὶ γεγράφθω περὶ ἄξονα τὸν $ΘH$ ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἔλλειψις, ἐπὶ



δὲ τῆς δευτέρας ὑπερβολή, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς ληφθῇ σημεῖον ὡς τὸ $Γ$, καὶ κάθετος ἀχθῇ ἡ $ΓΔ$, λόγον εἶναι τοῦ ὑπὸ τῶν $ΘΔH$ πρὸς τὸ ἀπὸ $ΔΓ$ τὸν συνημμένον ἔκ τε τοῦ, ὃν ἔχει ἡ $TΣ$ πρὸς $ΣY$, καὶ ἐξ οὗ ὃν ἔχει ἡ $TΣ$ πρὸς $ΣP$, καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος, ὅς ἐστιν ὁ τοῦ ἀπὸ PT πρὸς τὸ ἀπὸ $TΣ$, καὶ ἤχθω ὀρθὴ ἡ BK. λέγω, ὅτι ἡ $ΘK$ ποιεῖ τὸ ἐπίταγμα.

ἤχθω γὰρ κάθετος ἡ $ΓΔ$, καὶ πεποιήσθω, ὡς μὲν ἡ AB πρὸς τὴν BH, οὕτως ἡ ZB πρὸς τὴν $BΔ$, ὡς δὲ ἡ $AΘ$ πρὸς τὴν $ΘB$, οὕτως ἡ $EΔ$ πρὸς τὴν $ΔB$· ὥστε ἔσται ὁ μὲν τῆς $ΔH$ πρὸς τὴν AZ λόγος ὁ αὐτὸς τῷ τῆς HB πρὸς τὴν BA, τουτέστιν τῷ τῆς $TΣ$ πρὸς $ΣY$, ὁ δὲ τῆς $ΘΔ$ πρὸς AE λόγος ὁ αὐτός ἐστιν τῷ τῆς $TΣ$ πρὸς $ΣP$· τὸ αὐτὸ γὰρ ἐν τῇ ἀναλύσει ἀπεδείχθη· ὥστε τοῦ ὑπὸ $ΘΔH$ πρὸς τὸ ὑπὸ ZAE λόγος συνῆπται ἐξ οὗ

11. καὶ ἤχθω] κατήχθω cod., Hultsch. 18. ἐστιν] del. Hultsch. 19. τὸ αὐτὸ] τοῦτο susp. Hultsch.

ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ. ἀλλ' ἐπεὶ τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ τὸν συνημμένον ἔχει λόγον ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ, καὶ ἔτι ὁ δοθεὶς λόγος ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, καὶ τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ συνῆπται ἐξ οὗ ὃν ἔχει τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΑΕ καὶ τὸ ὑπὸ ΖΑΕ πρὸς τὸ ἀπὸ ΔΓ, καί ἐστιν ὁ τοῦ ὑπὸ τῶν ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΑΕ λόγος ὁ αὐτὸς τῷ συνημμένῳ ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ, λοιπὸς ἄρα τοῦ ὑπὸ ΖΑΕ πρὸς τὸ ἀπὸ ΔΓ λόγος ὁ αὐτός ἐστιν τῷ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστι τῷ τοῦ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΒ. καὶ πάντα πρὸς πάντα· ὡς ἄρα τὸ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΓΔ, ΔΒ, οὕτως ἐστὶν τὸ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστιν ὁ δοθεὶς λόγος· ὥστε τὸ ΘΚ μέρος τῆς τομῆς ποιεῖ τὸν τόπον.

Τούτων οὕτως ἐχόντων ἐλευσόμεθα ἐπὶ τὸ ἐξ ἀρχῆς. ἔστω θέσει εὐθεῖα ἡ ΑΒ καὶ δοθὲν τὸ Γ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διήχθω ἡ ΔΓ καὶ κάθετος ἡ ΔΕ, λόγος δὲ ἔστω τῆς ΓΔ πρὸς ΔΕ. λέγω, ὅτι τὸ Δ ἅπτεται κώνου τομῆς, καὶ ἐὰν μὲν ὁ λόγος ᾖ ἴσος πρὸς ἴσον, παραβολῆς, ἐὰν δὲ ἐλάσσων πρὸς μείζονα, ἐλλείψεως, ἐὰν δὲ μείζων πρὸς ἐλάσσονα, ὑπερβολῆς.

ἔστω πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον, τουτέστιν ἔστω πρότερον ἴση ἡ ΓΔ τῇ ΔΕ. δεῖξαι, ὅτι τὸ Δ ἅπτεται παραβολῆς.

ἤχθω κάθετος ἡ ΓΖ· θέσει ἄρα ἐστί· τῇ δὲ ΑΒ παράλληλος ἡ ΔΗ. καὶ ἐπεὶ τὸ ἀπὸ ΕΔ ἴσον τῷ ἀπὸ

---

4. καὶ ἔτι] καὶ ἔστιν cod., καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος καὶ ἔστιν Hultsch cum Commandino. Post ΤΣ add. ἐλάσσων πρὸς μείζονα cod. 10. ΖΑΕ] ΘΔΗ cod. 13. ΓΔ, ΔΒ] ΒΗ cod. 17. ζ' praemisit Hultsch cum aliis. 19. καὶ (alt.)] om. cod., Hultsch. 24. ἔστω] ἔστω τῶν cod., ἔστω γὰρ Hultsch.

ΔΓ, ἴση δὲ ἡ μὲν ΕΔ τῇ ΖΗ, το δὲ ἀπὸ ΔΓ ἴσον τοῖς ἀπὸ ΔΗ, ΗΓ, τὸ ἄρα ἀπὸ ΖΗ ἴσον ἐστὶ τοῖς ἀπὸ ΔΗ, ΗΓ. καὶ ἔστιν θέσει ἡ ΖΓ, καὶ δύο δοθέντα τὰ Ζ, Γ· τὸ Δ ἄρα ἅπτεται παραβολῆς· τοῦτο γὰρ προδέδεικται.



συντεθήσεται δὴ οὕτως·

ἔστω ἡ τῇ θέσει ἡ ΑΒ, τὸ δὲ δοθὲν τὸ Γ, καὶ ἤχθω κάθετος ἡ ΓΖ, καὶ θέσει οὔσης τῆς ΓΖ καὶ δύο δοθέντων τῶν Ζ, Γ εὑρήσθω παραβολὴ ἡ ΔΘ, ὥστε, οἷον ἐὰν ληφθῇ σημεῖον ὡς τὸ Δ, ἀχθῇ δὲ κάθετος ἡ ΔΗ, ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ, ΗΓ. λέγω, ὅτι ἡ ΔΘ γραμμὴ τὸν τόπον ποιεῖ, τουτέστιν ὅτι, οἵα τις ἐὰν διαχθῇ ὡς ἡ ΓΔ καὶ κάθετος ἡ ΔΕ, ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΕ.

ἤχθω κάθετος ἡ ΔΗ· διὰ ἄρα τῆς παραβολῆς ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ, ΗΓ. καί ἐστιν τῇ μὲν ΖΗ ἴση ἡ ΕΔ, τοῖς δὲ ἀπὸ ΔΗ, ΗΓ ἴσον τὸ ἀπὸ ΔΓ· τὸ ἄρα ἀπὸ ΔΓ ἴσον ἐστὶν τῷ ἀπὸ ΔΕ. ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΕ· ἡ ἄρα ΔΘ γραμμὴ ποιεῖ τὸν τόπον.

---

6. *η′* praemisit Hultsch cum aliis. 11. *ἐστιν*] fort. *εἶναι*. 12. *τὸν τόπον ποιεῖ*] *τὸν τόπον* cod., *ποιεῖ τὸν τόπον* Hultsch cum aliis. *ὅτι*] om. cod., Hultsch. 13. *ἐὰν*] *ἂν* Hultsch. 19. Desiderantur praeter finem huius lemmatis sine dubio alia lemmata libri Euclidis.

Κωνικά.

9. Pappus *Συναγ.* VII 30 p. 672, 18sqq.:

Τὰ Εὐκλείδου βιβλία δ̄ Κωνικῶν Ἀπολλώνιος ἀναπλώσας καὶ προσθεὶς ἕτερα δ̄ παρέδωκεν η̄ Κωνικῶν τεύχη.

Scholiasta Pappi III p. 1187 ad hunc locum: *ὅτι καὶ ὁ Εὐκλείδης κωνικῶν δ̄ βιβλία γέγραφεν.*

Cfr. Studien über Euklid p. 83sqq.

10. Apollonius Pergaeus Conic. I p. 4, 10sqq.:

Τὸ δὲ τρίτον πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρός τε τὰς συνθέσεις τῶν στερεῶν τόπων καὶ τοὺς διορισμούς, ὧν τὰ πλεῖστα καὶ κάλλιστα ξένα, ἃ καὶ κατανοήσαντες συνείδομεν μὴ συντιθέμενον ὑπὸ Εὐκλείδου τὸν ἐπὶ τρεῖς καὶ τέσσαρας γραμμὰς τόπον, ἀλλὰ μόριον τὸ τυχὸν αὐτοῦ καὶ τοῦτο οὐκ εὐτυχῶς· οὐ γὰρ ἦν δυνατὸν ἄνευ τῶν προσευρημένων ἡμῖν τελειωθῆναι τὴν σύνθεσιν.

Cfr. Pappus VII 32 p. 676, 3sqq.

Pappus VII 33 p. 676, 19sqq.: *Ἀπολλώνιος μὲν ταῦτα· ὃν δέ φησιν ἐν τῷ τρίτῳ τόπον ἐπὶ γ̄ καὶ δ̄ γραμμὰς μὴ τελειωθῆναι ὑπὸ Εὐκλείδου, οὐδ' ἂν αὐτὸς ἠδυνήθη οὐδ' ἄλλος οὐδεὶς ἀλλ' οὐδὲ μικρόν τι προσθεῖναι τοῖς ὑπὸ Εὐκλείδου γραφεῖσιν διά γε μόνων τῶν προδεδειγμένων ἤδη κωνικῶν ἄχρι τῶν κατ' Εὐκλείδην, ὡς καὶ αὐτὸς μαρτυρεῖ λέγων ἀδύνατον εἶναι τελειωθῆναι, χωρὶς ὧν αὐτὸς προγράφειν ἠναγκάσθη. ὁ δὲ Εὐκλείδης ἀποδεχόμενος τὸν Ἀρισταῖον ἄξιον ὄντα, ἐφ' οἷς ἤδη παραδεδώκει κωνικοῖς, καὶ μὴ φθάσας ἢ μὴ θελήσας ἐπικαταβάλλεσθαι τούτων τὴν αὐτὴν πραγματείαν . .,*

---

3. *ἀναπλώσας*] cod., *ἀναπληρώσας* Hultsch cum aliis. 22. *ἀλλ'* — 23. *γραφεῖσιν*] del. Hultsch. 26. *ὁ δὲ* sqq. del. Hultsch.

ὅσον δυνατὸν ἦν τοῦ τόπου διὰ τῶν ἐκείνου κωνικῶν, ἔγραψεν οὐκ εἰπὼν τέλος ἔχειν τὸ δεικνύμενον.

De loco ad tres uel quattuor lineas u. Zeuthen Die Lehre von den Kegelschn. p. 126 sq.

11. Archimedes Quadrat. parabol. prop. 1—3 (II p. 266 sqq.; cfr. ib. II p. 350, 8; 436, 3):

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομά, ἐφ' ἃς ἀ ΑΒΓ, ἀ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἀ δὲ ΑΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἴσα ἐσσεῖται ἀ ΑΔ τᾷ ΔΓ. κἂν ἴσα ᾖ ἀ ΑΔ τᾷ ΔΓ, παραλλήλοι ἐσσοῦνται ἃ τε ΑΓ καὶ ἀ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς.



Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἀ ΑΒΓ, ᾗ δὲ ἀ μὲν ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἀ δὲ ΑΔΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἀ δὲ ΕΓ τᾶς τοῦ κώνου τομᾶς ἐπιψαύουσα κατὰ τὸ Γ, ἐσσοῦνται αἱ ΒΔ, ΒΕ ἴσαι.

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἀ ΑΒΓ, ἀ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, καὶ ἀχθέωντί τινες αἱ ΑΔ, ΕΖ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἐσσεῖται, ὡς ἀ ΒΔ ποτὶ τὰν ΒΖ, δυνάμει ἀ ΑΔ ποτὶ τὰν ΕΖ.

ἀποδέδεικται δὲ ταῦτα ἐν τοῖς κωνικοῖς στοιχείοις.

12. Archimedes *Περὶ κωνοειδ. καὶ σφαιροειδ.* prop. 3 (I p. 270, 15 sqq.):

Εἰ κα κώνου τομᾶς ὁποιασοῦν εὐθεῖαι ἐπιψαύωντι ἀπὸ τοῦ αὐτοῦ σαμείου ἀγμέναι, ἔωντι δὲ καὶ ἄλλαι εὐθεῖαι ἐν τᾷ τοῦ κώνου τομᾷ παρὰ τὰς ἐπιψαυούσας ἀγμέναι καὶ τέμνουσαι ἀλλάλας, τὰ περιεχόμενα ὑπὸ τῶν τμαμάτων τὸν αὐτὸν ἐξοῦντι λόγον ποτ' ἄλλαλα, ὃν τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ἐπιψαυουσᾶν· ὁμόλογον δὲ ἐσσεῖται τὸ περιεχόμενον ὑπὸ τῶν τᾶς ἑτέρας γραμμᾶς τμαμάτων τῷ τετραγώνῳ τῷ ἀπὸ τᾶς ἐπιψαυούσας τᾶς παραλλήλου αὐτᾷ.

ἀποδέδεικται δὲ τοῦτο ἐν τοῖς κωνικοῖς στοιχείοις.

13. Archimedes *Περὶ κωνοειδ.* prop. 3 (I p. 272, 23 sqq.):



Ὃν δὴ λόγον ἔχει τὸ τετράγωνον τὸ ἀπὸ τᾶς AZ ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς AK, τοῦτον ἐχέτω ἁ N ποτὶ τὰν M. αἱ δὴ ἀπὸ τᾶς τομᾶς ἐπὶ τὰν ΔZ ἀγόμεναι παρὰ τὰν AE δύνανται τὰ παρὰ τὰν ἴσαν τᾷ N παραπίπτοντα πλάτος ἔχοντα, ἃς αὐταὶ ἀπολαμβάνοντι ἀπὸ τᾶς ΔZ ποτὶ τὸ Δ πέρας.

δέδεικται γὰρ ἐν τοῖς κωνικοῖς.

EPIGRAMMA

Εὐκλείδου γεωμετρικόν.

Ἡμίονος καὶ ὄνος φορέουσαι οἶνον ἔβαινον,
αὐτὰρ ὄνος στενάχιζεν ἐπ' ἄχθει φόρτου ἑοῖο.
τὴν δὲ βαρυστενάχουσαν ἰδοῦσ' ἐρέεινεν ἐκείνη·
μῆτερ, τί κλαίουσ' ὀλοφύρεαι ἠύτε κούρη;
εἰ μέτρον ἕν μοι δοίης, διπλάσιον σέθεν ἦρα,
εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις.
εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπίστορ.

Primus edidit Aldus in Florilegio 1503 (MM p. 9), deinde praeter reliquas Anthologiae editiones, uelut Henrici Stephani 1566 p. 493, Bachetus in Diophanto p. 370 sine Euclidis nomine (p. 349: „placet hoc loco elegantissima aliquot epigrammata proferre non iniucundas quaestiones de rebus arithmeticis continentia, quae nondum edita fuerunt, quaeque pridem e codice probatissimo Palatino excerpta tradidit nobis vir eruditissimus Claudius Salmasius", et deinde p. 368: „his, quae nondum edita erant, epigrammatis subiicere libet quinque sequentia cum nostra interpretatione, ne quid ad hanc materiam pertinens hic deesse sinamus, quamuis olim haec edita circumferantur in Anthologia") et Brunckius Anal. I p. 168. ego hosce contuli codices: Vatic. Gr. 63 bomb. s. XIV (A, fol. 121), Vatic. Gr. 1347 chart. s. XVI (B, fol. 216), Vatic. Gr. 1379 chart. s. XV (C, fol. 33), Mutin. III B 11 chart. s. XV (D), Barberin. I 128 chart. s. XV (E, fol. 124), Musei Britann. add. 22858 chart. s. XVI (F, fol. 105^{u}), Bodl. Baroccian. 125 chart. s. XVI, u. Coxe I p. 203 (G, fol. 146). exstat etiam in Vindob. philos. 331.

---

1. *γεωμετρικόν*] *γεωμετρικοῦ* F, *ἐπίγραμμα γεωμετρικόν* G. 2. *οἶνον*] *ἶνον* F. 3. *στενάχισεν* F, sed corr. 4. *βαριστε-*

Philippus Melanchthon.

Mulae asinaeque duos imponit seruulus utres
impletos uino. segnemque ut uidit asellam
pondere defessam uestigia figere tarda,
mula rogat: quid, chare parens, cunctare gemisque?
unam ex utre tuo mensuram si mihi reddas,
duplum oneris tunc ipsa feram; sed si tibi tradam
unam mensuram, fient aequalia utrique
pondera. mensuras dic, docte geometer, istas!

5. 7.

Interpretationem Melanchthonis sumpsi ex F, fol. 105ª.

νάχουσαν Bachet. *ἐρέεινεν*] *ἐρέειν* C, *ἐρεένειν* F, *ἐρέεκεν* G. *ἐκείνη*] *ἐνεκείνη* C. 5. *μῆτερ*] *μερ̄* CD, *ὦ μερ̄* E. 6. *ἕν μοι*] *ἔμοι* Bachet. 7. *δὲ ἓν*] *δέ κεν* FG. 8. *γεωμετρίως* F. *ἐπίστωρ* E, ·/. add. G et in mg. *ἡϒ ἐπιστήμων*. — In mg. ad lin. 3: *ἡ ἡμίονος ζ̄ καὶ ἡ ὄνος ε̄* DE, *ἡ ἡμίονος ζ̄ ἡ ὄνος ε̄* A. In fine: *ἀνὰ τριῶν μέτρων δοκοῦσι φέρειν* ACDE Aldus Stephanus, *ἡ μὲν ζ̄ ἡ δὲ ε̄ μέτρα δοκοῦσι φέρειν* C.

SCHOLIA

Scholia codicis Vat. Gr. 1038 fol. 129^{v} sub fine Datorum in mg. inferiore.



Ὅρων δοθέντων ὁποσαοῦν εὑρεῖν δυαδικὰς συζυγίας. εὑρίσκομεν δὲ αὐτὰς οὕτως· λαμβάνομεν τῶν δοθέντων ὅρων ī ἀριθμὸν μονάδι ἐλάττονα καὶ πολυπλασιάζομεν αὐτὸν εἰς τὸν ἐγγὺς αὐτοῦ μονάδι μείζονα καὶ ἐκ τοῦ γενομένου ποσοῦ λαμβάνομεν τὸ ἥμισυ· καὶ ἔχομεν αὐτὴν εὕρεσιν τῶν δοθέντων ὅρων δυαδικὰς συζυγίας. τὰς δὲ τριαδικὰς οὕτως· λαμβάνομεν τὸν δυάδι ἐλάσσονα ἀριθμὸν τοῦ ποσοῦ τῶν ἐξ ἀρχῆς δοθέντων ὅρων καὶ πολλαπλασιάζομεν ἐπὶ τὸ ποσὸν τὸ γεγονὸς ἐκ τῶν δυαδικῶν συζυγιῶν ἐκ τοῦ ποσοῦ τῶν δοθέντων ἐξ ἀρχῆς ὅρων καὶ τοῦ γεγονότος πολλαπλασιασμοῦ λαμβάνομεν τὸ τρίτον μέρος· καὶ ἔχομεν τριαδικὰς συζυγίας. καὶ ἑξῆς ὁμοίως.

Μέθοδος εἰς τοὺς τριγωνικοὺς ἀριθμούς.

1) Quadratum vacuum.

3. *ἀριθμόν*] om. lacuna relicta. 7. *τὰς δέ*] om. lac. relicta.

δοθείσης πλευρᾶς εὑρεῖν τὸ πλῆθος τῶν μονάδων τοῦ ἐμβαδοῦ. ἔστω ἡ πλευρὰ μοιρῶν $\bar{\xi}$· ταύτης τὸ ἥμισυ γίνεται $\bar{\gamma}$ ἥμισυ. πρόσθες καθόλου τὸ ἥμισυ· γίνεται $\bar{\delta}$. τετράκις τὸ $\bar{\xi}$ γίνεται $\overline{\kappa\eta}$. πάλιν ἔστω ἡ πλευρὰ μοιρῶν $\bar{\eta}$· ὧν τὸ ἥμισυ $\bar{\delta}$. πρόσθες ἥμισυ· γίνεται $\overline{\delta\bar{\iota}}$. ἐπὶ τὸ $\bar{\eta}$ γένεται $\overline{\lambda\varsigma}$. ὁμοίως ἐπὶ πάντων.

μέθοδος ἄλλη χρησιμωτέρα.

πᾶς ἀριθμὸς διαιρεθεὶς εἰς δύο ἀριθμούς, ὥστε μονάδι ἀλλήλων διαφέρειν τὰ τμήματα, ἐὰν πολλαπλασιασθῇ ἐφ' ὁποιονοῦν, ὁ ὅλος τριγωνικὸς ἔσται· πλευρὰ δὲ ἔσται τοῦ μὲν μείζονος τριγώνου ὁ ἐξ ἀρχῆς ἀριθμός, τοῦ δὲ ἐλάττονος ὁ μονάδι ἐλάσσων αὐτοῦ· οἷον ὁ $\bar{\theta}$ διαιρεῖται εἰς $\bar{\delta}$ καὶ $\bar{\varepsilon}$· γίνεται οὖν $\overline{\lambda\varsigma}$, $\overline{\mu\varepsilon}$· πλευρὰ δὲ τοῦ μὲν ὁ $\bar{\eta}$, τοῦ δὲ ὁ $\bar{\theta}$. πάλιν ὁ $\overline{\iota\beta}$ εἰς $\bar{\varepsilon}$ ἥμισυ καὶ $\bar{\varsigma}$ ἥμισυ· γίνεται $\overline{\xi\varsigma}$, $\overline{o\eta}$· πλευρὰ δὲ τοῦ μὲν ὁ $\overline{\iota\alpha}$, τοῦ δὲ ὁ $\overline{\iota\beta}$.

Scholium codicis Vaticani Gr. 204 fol. 134^{v} ad Euclidis Catoptrica prop. I.

Δῆλον τοῦτό ἐστι μάλιστα ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων. ἐὰν γὰρ ἐν σταθερᾷ μεσημβρίᾳ τοῦ ἡλίου φλογῶδες ἐλλάμποντος ὕδωρ τις ἐν πινακίσκῳ βαλὼν ἔγγιον αὐτὸ θῇ τοίχου τινός, κατ' ἐκεῖνο δηλονότι τὸ μέρος, ἐν ᾧ ὁ ἥλιος τὰς ἀκτῖνας ἀφίησιν, αὐτίκα γενήσονται παλμοί τινες ἐπὶ τὸν τοῖχον ἀπὸ τοῦ ὕδατος, ὡς ὁρᾶσθαι τὰς ἀκτῖνας παλλομένας τοῦ ἡλίου ἐπὶ τὸν τοῖχον καὶ οἷον ὑποτρεμούσας, ὅπερ ἐστὶν ἡ λεγομένη ἀντανάκλασις. καὶ εἴγε ἦν αἰσθητικώτερον ἰδεῖν τὴν ἀκτῖνα, καθάπερ ξύλον ἢ λίθον ἢ ἄλλο τι σῶμα τοιοῦτον, εἶδες ἂν τὴν ἀπὸ ταύτης ἐπὶ τὴν ἀνακλωμένην εὐθεῖαν ἐπίζευγνυμένην γραμμὴν πρὸς ἴσας γωνίας οὖσαν ἑκατέραις καὶ διάνδιχα ταύτας μερίζουσαν. ἐπεὶ τοίνυν, ὅπερ ἐστὶν

26. ὑποτρεμούσας] -μ- obscurum, fortasse χ.

ἥλιος ἐν κόσμῳ, τοῦτο ἐν σώματι ὀφθαλμός, τὸ αὐτὸ καὶ ἐπὶ τούτου γενήσεται, ὅπερ καὶ ἐπὶ τοῦ ἡλίου, ὅταν θεωρῇ διά τινος σώματος καθαρωτάτου καὶ διαφανοῦς, οἷον τὸ τῆς ὑέλλου. ὑποστήσεται γάρ τινα παλμὸν ἡ ἀπὸ τοῦ ὀφθαλμοῦ ἐπὶ τὴν ὕελλον ἀποχεομένη ἀκτὶς καὶ γωνίαν τὴν αὐτὴν ποιήσει πρὸς τῷ ἐνόπτρῳ, οἵαν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς αὐτό. δῆλον, ὅτι, εἰ μὲν πρὸς ὀρθὰς γωνίας ἐστὶν αὐτὴ ἡ ἀπὸ τοῦ ὄμματος, αὐτὴ δι' ἑαυτῆς ἀνακλασθήσεται, εἰ δὲ πρὸς ἀμβλείας, ἔσται ἀναλόγως καὶ ἡ ἀντανακλωμένη αὐτὴ ἰσογώνιος αὐτῇ, τουτέστιν ἴσην ἔχουσα τὴν πρὸς τῇ κατὰ τὸ ἔνοπτρον συναφῇ γωνίαν τῇ ἀπὸ τῆς τοῦ ὄμματος ἀκτῖνος πρὸς τῷ αὐτῷ σημείῳ, καὶ τοῦτό ἐστιν, ὅπερ φησὶν Εὐκλείδης, ὅτι ἀπὸ τῶν ἐπιπέδων ἐνόπτρων καὶ κυρτῶν καὶ κοίλων αἱ ὄψεις ἐν ἴσαις γωνίαις ἀνακλῶνται.

---

11. *ἴσην*] bis. 12. *τῆς*] supra.